

ΚΕΚΡΑΓΑΡΙΟΝ

ΤΟΥ

ΘΕΙΟΥ ΚΑΙ ΙΕΡΟΥ ΑΥΓΟΥΣΤΙΝΟΥ

ΕΠΙΣΚΟΠΟΥ ΙΠΠΩΝΟΣ

ΗΤΟΙ

ΒΙΒΛΙΑ ΤΕΣΣΑΡΑ

Α΄, Αἱ Μελέται. Β΄, Τὰ Μονολόγια. Γ΄, Τὸ περὶ τῆς τοῦ Χριστοῦ Θεωρίας. Δ΄, Τὸ περὶ συντριβῆς καρδίας. ἐν οἷς περιέχονται αἰνέσεις τε καὶ δεήσεις καὶ εὐχαριστίαι θερμόταται, ἃς ὁ Θεσπέσιος Πατὴρ πρὸς Θεὸν ἀναπέμπων ἐκέκραγεν.

Ἐνταθὲν εἰς μέτρα κατὰ τὴν τονικὴν βάσιν ἐκ τῆς Μεταφράσεως τοῦ Εὐγενίου τοῦ Βουλγάρεως.

ΥΠΟ

τοῦ Μητροπολίτου Πενταπόλεως

ΝΕΚΤΑΡΙΟΥ





ΕΝ ΑΘΗΝΑΙΣ

ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ ΠΑΡ. ΛΕΩΝΗ

16—Ὁδὸς Περικλέους—16

1910

ΠΡΟΛΟΓΟΣ

Ἀναγγέλλομεν ὑμῖν τὴν ἔκδοσιν τοῦ Κεκραγαρίου τοῦ θείου καὶ Ἱεροῦ Αὐγουστίνου Ἐπισκόπου Ἱππῶνος, ἤτοι τῶν τεσσάρων βιβλίων τῶν ἐξομολογήσεων αὐτοῦ, ἐν οἷς περιέχονται αἰνέσεις τε καὶ δεήσεις καὶ εὐχαριστίαι θερμόταται, ἃς ὁ θεσπέσιος Πατὴρ πρὸς Θεὸν ἀναπέμπων ἐκέκραγεν.

Τὰ Βιβλία ταῦτά εἰσιν. Α′ αἱ Μελέται. Β′ τὰ Μονολόγια. Γ′ τὸ περὶ τῆς τοῦ Χριστοῦ θεωρίας. Δ′ τὸ περὶ συντριβῆς καρδίας.

Τὰ Βιβλία ταῦτα, συγγράμματα ἀνδρὸς τετρωμένου ὑπὸ τῆς θείας ἀγάπης καὶ ἐνθέου ἔρωτος, εἰσὶν ὑπαγορεύσεις καρδίας ἐνθουσιώσης καὶ λατρευούσης τὸ θεῖον πάσαις ταῖς δυνάμεσιν αὐτῆς, καὶ ἔκφρασις τοῦ θείου πόθου τοῦ ἀνυψοῦντος νοῦν καὶ καρδίαν πρὸς τὸν θεῖον Δημιουργὸν τοῦ σύμπαντος πρὸς ὃν σπεύδει νὰ προσπελάσῃ αἰρομένη ἀπὸ τῶν γηΐνων καὶ ὑψωθῇ μέχρι τοῦ ἀπροσπελάστου θρόνου αὐτοῦ, ὁπόθεν ζητεῖ νὰ κατανοήσῃ τὴν δόξαν τοῦ θείου μεγαλείου καὶ ἴδῃ καὶ χορτασθῇ. Ἐν αὐτοῖς διαλάμπει τὸ

ὑπὸ τοῦ θείου φωτὸς καταυγασθὲν πνεῦμα τοῦ ἱεροῦ συγγραφέως, ὁ μέγας αὐτοῦ καὶ καθαρὸς νοῦς, ἡ εὔστροφος αὐτοῦ διάνοια καὶ ἡ ζέουσα τῆς καρδίας αὐτοῦ ἀγάπη πρὸς τὸν ποιητὴν καὶ πλάστην αὐτοῦ, τὸν Σωτῆρα καὶ λυτρωτὴν αὐτοῦ καὶ τῆς ἀνθρωπότητος ἁπάσης, τὸν ἀγαθόν, τὸν οἰκτίρμονα, τὸν πολυέλεον, τὸν παροχέα πάντων τῶν ἀγαθῶν, τὸν ἰθύνοντα τὸν κόσμον εἰς ἀγαθὸν καὶ λελογισμένον τέλος, τὸν ἁγιάζοντα καὶ δοξάζοντα τὸν ἄνθρωπον καὶ εἰκόνα ἑαυτοῦ ἀναδεικνύοντα, τὸν θεοῦντα αὐτόν, τὸν ἀπαθανατίζοντα αὐτόν, τὸν εἰσάγοντα εἰς τὴν Βασιλείαν τῶν Οὐρανῶν, τὸν χαριζόμενον ἀθανασίαν καὶ ζωὴν τὴν αἰώνιον.

Τὸ Κεκραγάριον καίτοι ἐν πεζῷ λόγῳ γεγραμμένον οὐχ ἧττον δύναται νὰ θεωρηθῇ ποίημα ὑψηλόν, διότι ἐστὶν ἀληθὴς ποίησις. Τὸ ὅλον περιεχόμενον τῶν πνευματεμφόρων τούτων συγγραμμάτων μαρτυρεῖ θεῖον ἐνθουσιασμὸν καὶ ἔνθεον ποιητικὴν ἔξαρσιν, δι᾽ ὧν ὁ ἱερὸς θεοφόρος συγγραφεὺς μεταρσιοῦται καὶ ἀνάγεται ἀπὸ τῶν ἐπιγείων πρὸς τὰ Οὐράνια καὶ καθίσταται Οὐρανοπολίτης.

Τὸ θαυμάσιον τοῦτο Ἱερὸν Βιβλίον καὶ Ἱερὸν Κεκραγάριον ἀναγνώσαντες καὶ ἀγαπήσαντες καὶ ἑλκυσθέντες ἔκ τε τῶν θείων νοημάτων καὶ τοῦ ποιητικοῦ αὐτοῦ ὕφους ἐπεποθήσαμεν νὰ ἀναγάγωμεν αὐτὸ ἀπὸ τοῦ πεζοῦ λόγου εἰς τὸν ἔμμετρον καὶ νὰ περιβάλωμεν τὸ πεζὸν διὰ ποιητικοῦ περιβολαίου, ποιήσωμεν δὲ τελείως καταφανῆ τὴν ποίησιν, καὶ ἀποδῶμεν τῷ Βιβλίῳ τὴν μᾶλλον ἁρμόζουσαν αὐτῷ περιβολήν.

Τὴν ἐπιποθίαν ἡμῶν ταύτην θείᾳ συνάρσει ἠγάγομεν εἰς πέρας καὶ τὸ λαμπρὸν Κεκραγάριον τοῦ Ἱεροῦ Αὐγουστίνου περιεβλήθη τὴν ποιητικὴν περιβολὴν καὶ ἐποχεῖται ἤδη ἐπὶ ποιητικοῦ ἅρματος.

Κατὰ τὴν ἔντασιν τοῦ κειμένου εἴχομεν ὑπ᾽ ὄψει τὴν μετάφρασιν τοῦ Ἱεροῦ Εὐγενίου τοῦ Βουλγάρεως. Ἐπιθυμοῦντες νὰ μὴ ἀλλοιώσωμεν τὸ κείμενον καὶ μὴ ἀπομακρυνθῶμέν πως διὰ τῆς παραφράσεως ἀπὸ τῶν νοημάτων, ἐτηρήσαμεν ἐν οἷς ἦτο δυνατὸν τὸ ὕφος τοῦ λόγου τοῦ Εὐγενίου, ἀλλ᾽ ἐν οἷς τὸ ποίημα δυσκόλως κατενοεῖτο καθίσταμεν αὐτὸ διὰ καταλλήλου τῶν λέξεων ἐναλλαγῆς εὔληπτον καὶ κατανοητόν.

Τὸ Κεκραγάριον ἐνετείναμεν εἰς ποικίλα μέτρα ὅπως διὰ τῆς ποικιλίας τῶν μέτρων ἀποβαίνῃ τερπνὴ καὶ ἀκούραστος ἡ ἀνάγνωσις τοῦ Βιβλίου. Τὰ ποιήματα πάντα ψάλλονται καὶ ὑπάγονται ὑπό τε τὴν κλίμακα τῆς Βυζαντινῆς Μουσικῆς καὶ τῆς τετραφώνου. Ἅπαντα τὰ μέτρα ὑποδεικνύουσι τοῖς μετὰ προσοχῆς μελετῶσι τὸ μέλος καθ᾽ ὃ μελῳδεῖται τὸ ποίημα. Τὰ μέτρα εἰσὶν ἐντεταμένα ἐπὶ τῆς τονικῆς βάσεως.

Ἐν Αἰγίνῃ ἐκ τῆς Ἱερᾶς Μονῆς τῆς Παναγίας Τριάδος.

† Ὁ Πενταπόλεως ΝΕΚΤΑΡΙΟΣ

ΒΙΒΛΙΟΝ ΠΡΩΤΟΝ

ΜΕΛΕΤΑΙ ΤΟΥ ΘΕΙΟΥ ΚΑΙ ΙΕΡΟΥ ΑΥΓΟΥΣΤΙΝΟΥ

Ἐντεταμέναι εἰς μέτρα κατὰ τὴν τονικὴν βάσιν.

ΚΕΦΑΛΑΙΟΝ Α΄

Ψυχὴ Θεὸν τὸν πάντα ἰσχύοντα ἐπικαλουμένη πρὸς ἠθῶν τε καὶ βίου τοῦ ἑαυτῆς ἐπανόρθωσιν.

Ὁ Θεὸς ὁ Κύριός μου χάρισαί μοι ἀγαπᾶν Σε
καὶ ἐπιποθεῖν ἀεί Σε καὶ ἀεὶ ἐπιζητεῖν Σε
ἀπὸ μέσης μου καρδίας, καὶ ζητοῦντί μοι εὑρεῖν Σε
καὶ εὑρόντι ἀγαπᾶν Σε. Καὶ ἐξαγαπήσαντί Σε
τῶν κακῶν ἀπαλλαχθῆναι, καὶ ἀπαλλαχθέντι αὖθις
τοῦ μηκέτι ἐπιστρέψαι ἐπὶ τὰς αὐτὰς κακίας.
Δὸς μετάνοιαν, Θεέ μου, τῇ ψυχῇ μου, δέομαί Σου,
καὶ κατάνυξιν τελείαν τῇ καρδίᾳ μου παράσχου
δάκρυα τοῖς ὀφθαλμοῖς μου, ἀλλὰ δὸς καὶ ταῖς χερσί μου
τὴν δαψίλειαν ὡς ἔχειν τὴν τῆς ἐλεημοσύνης.
Ὁ Θεὸς ὁ Βασιλεύς μου σβέσον ἀναφλεγομένας
τὰς ὀρέξεις τῆς σαρκός μου καὶ τὸ πῦρ ἐπάναψόν μοι
τῆς ἀγάπης σου τῆς θείας.
Ἀποσκέδασον ὁ ῥύστης τὸ τῆς ὑπερηφανείας
πνεῦμα· ἵλεως γενοῦ μοι καὶ μετάδος, ἱκετεύω,
Σῆς χρηστότητος τοῦ πλούτου.

῾Ο Σωτὴρ ἀπόστρεψον δὲ τὴν ὀργὴν καὶ τὸν θυμόνΣου
ἀπ᾽ ἐμοῦ καὶ κατοικτίρας θυρεῷ κατάφραξόν με
τῆς ὑπομονῆς, Θεέ μου.
Σὺ ὁ πλάσας ἔκπλυνόν μου ἀπὸ τῆς ψυχῆς μου πᾶσαν
ρυπαρίαν καὶ πικρίαν καὶ πρυτάνευσόν μοι, Πλάστα,
γλυκασμὸν τῇ διανοίᾳ γλυκασμὸν ἐπιεικείας·
ὁ Πατὴρ ὁ τοῦ ἐλέους τῶν πλουσίων οἰκτιρμῶν τε
δὸς ἀσάλευτόν μοι πίστιν ἀκαταίσχυντον ἐλπίδα
ἀδιάλειπτον ἀγάπην.
῾Ο Θεός ὁ ὁδηγήτωρ ὁ ἀεὶ μὲ κατευθύνων
ἀπ᾽ ἐμοῦ ἀπόστρεψον Σὺ ματαιότητα δὴ πᾶσαν,
φρενὸς ἀκαταστασίαν ρεμβασμόν τε τῆς καρδίας
στόματος ἀδολεσχίαν, ἔπαρσιν τῶν ὀφθαλμῶν τε
τῆς γαστρὸς τὴν ἀπληστίαν, καὶ ὀνειδισμὸν τοῦ πέλας,
τὸν κνησμὸν περιεργείας καταλαλιᾶς ἀθέσμου.
ὄρεξιν φιλοπλουτίας ἁρπαγμοῦ καὶ δυναστείας,
ἔφεσιν κενοδοξίας καὶ ὑπόκρισιν παντοίαν,
πονηρίαν, κολακείαν, δολιότητα, κακίαν,
τῶν πτωχῶν ὀλιγωρίαν, φλόγωσιν φιλαργυρίας,
τὸν ἰὸν τῆς βασκανίας, θάνατον της βλασφημίας.
῾Ο Θεὸς ὁ ποιητής μου ἔκκοψον ἀπ᾽ ἐμοῦ πᾶσαν
ἄνοιαν ἀπόνοιάν τε ὡς καὶ τὴν ἀγνωμοσύνην,
πεισμονὴν ἀνησυχίαν νυσταγμὸν καὶ ὀκνηρίαν πνεύματός μου ἀκηδίαν,
νάρκωσιν τῆς διανοίας πώρωσίν τε τῆς καρδίας,
ἰταμότητα φρενῶν μου, τρόπων μου ἀπήνειάν τε
καὶ ὠμότητα καρδίας.
Τὴν δυσπείθειάν μου ἆρον πρὸς τὰ ἔργα τῆς ἀγάπης

καὶ πρὸς τὰ τῆς εὐσεβείας· τὴν ἀντίβασιν ἐπίσης
ἆρον πρὸς τὰς παραινέσεις, τὸ ἀχάλινον τῆς γλώσσης,
σκύλευσιν τῶν ἐν ἐνδείᾳ, θλῖψιν τῶν ἐν ἀπορίᾳ,
τὴν κατὰ τῶν ἀνεγκλήτων ἄδικον διαβολήν μου,
τὴν τῶν ὑπ᾽ ἐμὲ τελούντων καταολιγώρησίν μου,
τήν τε περὶ τοὺς οἰκέτας χαλεπότητα παντοίαν,
τὴν πρὸς τοὺς συνήθεις δέ μου δεικνυμένην ἀστοργίαν,
πᾶσαν τὴν τραχύτητά μου πρὸς τοὺς πέλας τοὺς ἐγγύς μοι.
῾Ο Θεός, τὸ ἔλεός μου, σοὶ προσπίπτων ἱκετεύω
διὰ τοῦ ἀγαπητοῦ σου τοῦ Υἱοῦ Σου καὶ Θεοῦ μου
πράξεις ἐλεημοσύνης μοι παράσχου ἐλεῆμον,
δὸς τὸν τῆς ἐπιεικείας τρόπον ἐξασκεῖν πρὸς πάντας,
τὸ συμπάσχειν θλιβομένοις, καὶ τοῖς ἐξαπατωμένοις
παραινεῖν τὰ δέοντά με, τοῖς δὲ ἐν ταλαιπωρίᾳ
ἐπιβοηθεῖν προθύμως· ἐπαρκεῖν τοῖς ἐν ἐνδείᾳ,
συμπαθῶς παραμυθεῖσθαι τοὺς ἐν λύπαις ἐμπεσόντας,
σπεύδειν τε ἀπελαφρύνειν τοὺς δεινῶς πιεζομένους
καὶ παρηγορεῖν καὶ τρέφειν ἐνδεεῖς καὶ πενομένους,
τὸ ψυχαγωγεῖν φιλίως ὀφθαλμοὺς δεδακρυσμένους.
Τοῖς ἐμοῖς δὲ ὀφειλέταις ἀφιέναι ἐκ καρδίας,
τοῖς δ᾽ ἐξαμαρτάνουσί μοι συγγινώσκειν δώρησαί μοι·
τὸ φιλεῖν τούς με μισοῦντας, καὶ αὐτοῖς ἀντιμετρεῖν με
ἀγαθὰ ἀντὶ κακῶν μοι.
μηδενὸς καταφρονεῖν με. ἀλλὰ ἐκτιμᾶν με πάντας·
τοὺς χρηστούς με ἐκμιμεῖσθαι τοὺς δὲ πονηροὺς ἐκφεύγειν·
ἀρετὴν μὲν μετιέναι καὶ ἀπέχεσθαι κακίας.
Δὸς ἐν ἀτυχήμασί μου, Κύριε, ὑπομονήν μοι,
ἐν δὲ εὐτυχήμασί μου σύνεσιν καὶ σωφροσύνην.

Θοῦ δέ, Κύριε Θεέ μου, φυλακὴν τῷ στόματί μου
καὶ περιοχῆς τε θύραν ἐπιθοῦ τοῖς χείλεσί μου·
Σὺ παράσχου ὁ Θεός μου τὰ ἐπὶ τῆς γῆς πατεῖν με,
τὰ δ' ἐν Οὐρανοῖς διψεῖν με.

ΚΕΦΑΛΑΙΟΝ Β'

Ἄνθρωπος ἑαυτοῦ αὐτοκατήγορος καὶ τῷ παρὰ Θεοῦ ἐλέει ἑαυτὸν θερμῶς ἐπισυνιστῶν.

Ἰδοὺ ὁ πλάστης μου· ἐγὼ πολλὰ μὲν ᾐτησάμην Σε
ὁ μηδ' ὀλίγον ἄξιος τῶν ὅσων ἐπευξάμην Σοι.
Ὁμολογῶ, ὁ πλάστης μου, εἰλικρινῶς ὁμολογῶ
ὅτι ἀνάξιός εἰμι ἧς προσαιτοῦμαι χάριτος·
καὶ οὐ μόνον ἀνάξιος, ἀλλὰ πολλῶν τε καὶ δεινῶν
κολάσεων ὑπεύθυνος· ἀλλ' ὅμως με ἐπιθαρρεῖν
αἱ πόρναι, οἱ τελῶναί τε καὶ οἱ λησταὶ προάγουσιν,
οἳ ἀπὸ τῶν τοῦ πονηροῦ φαρύγγων ἐκσπασθέντες νῦν
εἴσω εἰσήχθησαν αὐλῶν τοῦ Σοῦ ποιμνίου Κύριε·
Σὺ γὰρ εἶ ὁ Δημιουργὸς τῶν πάντων ὁ Θεὸς ἡμῶν
ὁ ἐν τοῖς ἔργοις θαυμαστός, καὶ ἔτι θαυμαστότερος
ἐν τῷ ποιεῖν Σε ἔλεος. Διὸ καὶ περὶ σεαυτοῦ
διὰ τοῦ ὑποφήτου Σου εἴρηκας τόδε τὸ ῥηθέν,
«ὅτι οἱ οἰκτιρμοὶ αὐτοῦ ἐπὶ τὰ ἔργα ἅπαντα
τῆς θείας δεξιᾶς αὐτοῦ».
Καὶ Σὲ εἰπόντα, Κύριε, περὶ τοῦ δούλου τοῦ πιστοῦ,
«Οὐ μὴ διασκεδάσω, οὔ, τὸ ἔλεός μου ἀπ' αὐτοῦ».
περὶ παντὸς πεποίθαμέν Σε εἰρηκέναι τοῦ λαοῦ.

Σὺ οὐδενὸς ὀλιγωρεῖς, οὐδένα ἀποβάλλεις Σύ,
οὐδένα ἀποστρέφει Σύ, εἰμὴ τὸν ἀπὸ Σοῦ μωρῶς
ἐν ἀφροσύνῃ τῇ πολλῇ τὸ πρόσωπον στρεφόμενον.
Οὐκοῦν οὐ μόνον οὔ ποτε πατάσσεις παραυτίκα Σὺ
παροργιζόμενος ἡμῖν, ἀλλ' ἐπιδίδως δωρεὰν
τοῖς Σὲ ἐκπαροξύνουσιν, ἐὰν Σε ἀπαιτήσωσιν.
Ὁ ἀντιλήπτωρ μου Θεός! κέρας τῆς σωτηρίας μου.
Ἐγὼ ὁ τάλας ἥμαρτον, ἐγώ τέ σε παρώργησα
τὸ πονηρὸν δ' ἐνώπιον Σοῦ Κύριε ἐποίησα,
τὸν Σὸν θυμὸν παρώξυνα, τῆς Σῆς ὀργῆς ὁμολογῶ
ὡς ἐγενόμην ἄξιος.
ἐξήμαρτον, ἠνέσχου με· ἠνόμησα, μακροθυμεῖς.
φείδει δέ, ὅταν μεταγνῶ· ἐὰν ἐπιστραφῶ πρός Σέ,
προσίεσαί με ἀγαθέ· τὸ δ' ἔτι πλέον, ὃ ποιεῖς,
καὶ περιμένεις με Αὐτὸς τὸν ἀναβάλλοντα ἀεί.
πλανώμενον ἀνακαλεῖς, καὶ κράζεις, μ' ἐνιστάμενον.
ὀκνοῦντα δὲ ἐκδέχει με, ἐπανιόντα ἀγαθὲ
μὲ περιβάλλεις πατρικῶς, ἀφραίνοντα διδάσκεις με.
καὶ ἀθυμοῦντα θέλγεις με, πίπτοντα δὲ μ' ἐπανορθοῖς,
πεσόντ' ἀναλαμβάνεις με· δωρεῖσαι ἐξαιτοῦντί μοι,
πάρει δὲ ἐκζητοῦντί Σε, ἀνοίγεις δέ μοι κρούοντι·
Ἰδού, Θεὲ φιλάνθρωπε Θεὲ τῆς σωτηρίας μου,
τί ἀντιβάλω ἀπορῶ, οὐκ οἶδα πῶς ἀποκριθῶ,
εἰπεῖν τι οὐκ ἐπίσταμαι. οὐδ' ἔστι μοι ἀποφυγή,
οὐκ ἔστι τόπος οὐδαμῇ ἀποκρυβῆναι ἀπὸ Σοῦ,
ἀλλὰ Σύ μοι ὑπέδειξας τὴν τρίβον τὴν τοῦ εὖ βιοῦν,
ἐδίδαξάς με πῶς ἐστι δέον αὐτὴν βαδίζειν με,
γέενναν μοι ἠπείλησας, πλὴν ἀνθυπέσχου μοι τρυφὴν

ἐν παραδείσῳ τῆς ζωῆς.
Νῦν οὖν Πατὴρ τῶν Οἰκτιρμῶν καὶ πάσης παρακλήσεως καθήλωσον τῷ φόβῳ σου τὸ τῆς σαρκός μου φρόνημα, ἵνα καὶ διαπτοηθεὶς ἐκφύγω Σου τὰς ἀπειλάς. ἀπόδος μοι ἐκδυσωπῶ, Θεέ, τὴν ἀγαλλίασιν τοῦ θείου σωτηρίου Σου, ὡς ἂν ἐν τῇ ἀγάπῃ Σου ἐστηριγμένος ὢν ἀεὶ ὧνπερ Σὺ καθυπέσχου μοι καὶ ἀπολαύσαιμι ἐγώ.
Κύριε ἡ ἐμὴ ἰσχύς! ὢ τὸ ἐμὸν στερέωμα, ἡ μόνη μου καταφυγὴ ὁ ῥύστης μου ὁ λυτρωτής. Τὸν νοῦν μου διαφώτισον, τί δέον περὶ σοῦ νοεῖν. τίσι ἐπικαλεῖσθαί με Σὲ ῥήμασιν ἐκδίδαξον· ὁποίαις δὲ με πράξεσιν ἰσχύσω σε εὐαρεστεῖν· οἶδ᾽ ὅτι εἶ εὐίλατος, τουτί τὸ πρῶτον ἔγνωκα, καὶ δεύτερον ἐπέγνωκα ὅτι οὐδένα παρορᾷς παρὰ Σοὶ γὰρ τῷ πλάστῃ μου θυσία ἐστὶν εὐάρεστος τὸ πνεῦμα τὸ κατώδυνον τὸ κατανενυγμένον Σοι, καρδίαν δὲ προσίεσαι συντετριμμένην, Κύριε, καὶ τεταπεινωμένην Σοι.
Ὢ ταύταις δὴ ταῖς χάρισι, ὁ βοηθός μου ὁ Θεός, βοῶ σοι καταπλούτισον. τούτοις τοῖς ὀχυρώμασι κατὰ τοῦ πολεμίου μου ἐκδυσωπῶ κατάφραξον τῇ δρόσῳ ταύτῃ, ὁ Θεός, εὐσπλαγχνιθεὶς ἀνάψυξον καὶ τῶν πλημμελημάτων μου τὴν φλόγα Σὺ κατάσβεσον. τουτὶ τὸ καταφύγιον ἐπὶ ταῖς τῶν ὀρέξεων ἀλόγοις προσπαθήσεσι, Θεέ μου, ἀναπέτασον. Θεέ, ἡ ἐμὴ δύναμις, ἰσχὺς τῆς σωτηρίας μου ποίησον ὁ δυνάμενος, ὅπως μὴ συναριθμηθῶ

τοῖς πρὸς καιρὸν πιστεύουσιν οἵ δ᾽ ἐν καιρῷ τοῦ πειρασμοῦ ὑποχωροῦσιν ἄστατοι.
Ἐπὶ τὴν κεφαλήν μου Σύ, Κύριε, ἐπισκίασον ἐν τῇ ἡμέρᾳ πειρασμοῦ· ἐλπὶς γενοῦ μοι, Κύριε, ἐν τῇ ἡμέρᾳ θλίψεως, ἐν δὲ ἡμέρᾳ ἀναγκῶν γενοῦ ἡ σωτηρία μου.
Ἰδοὺ δὴ Κύριε Θεέ, ὁ φωτισμός μου ὁ σωτήρ, ὧν χρήζω ᾐτησάμην Σε, ἐξήγγειλα, ἃ δέδοικα, ἀλλὰ ἐλέγχει με, Θεέ, καὶ δάκνει με τὸ συνειδός· ἐλέγχει με τὰ κρύφια αὐτὰ τὰ τῆς καρδίας μου καὶ ὃ καθυποβάλλει μοι ὁ πόθος πρὸς ἀπαίτησιν σκεδάννυσι τὸ δέος μου·
Ὁ μὲν γὰρ ζῆλος παρορμᾷ, ἐκκρούει ἡ δειλία δέ. Τὰ ἔργα μου πτοεῖσθαί με ἡ δ᾽ εὐσπλαγχνία ἡ ἐν Σοὶ ἐνάγει με ἐπιθαρρεῖν. ὀτρύνει ἡ χρηστότης Σου, ἀλλ᾽ ἡ φαυλότης ἡ ἐμὴ ἐπιβραδύνειν μὲ ποιεῖ. Καὶ ἵνα, ὅπερ δή ἐστι, ὁμολογήσω ἐμφανῶς, τῇ μνήμῃ μου προσπίπτουσι φαντάσματα μοχθηριῶν δι᾽ ὧν ἀπορραπίζεται τὸ θράσος τῶν δειλῶν ψυχῶν.

ΚΕΦΑΛΑΙΟΝ Γ'

Ἄνθρωπος ἐπιποτνιώμενος διὰ τὸ ὡς παρήκοος ὑπὸ τοῦ Κυρίου μὴ εἰσακούεσθαι.

Ὁ γὰρ μισεῖσθαι ἄξιος τίνι προσώπῳ ἔρχεται χάριν ζητῆσαι ἑαυτῷ; ὁ τῇ κολάσει ἔνοχος ὅση ποτὲ θρασύτητι τοῦ δοξασθῆναι ἀπαιτεῖ;

ὕβριν ποιεῖ τῷ δικαστῇ ὁ ἀξιῶν βραβεύεσθαι
πρὶν ἢ ἐφ᾽ οἷς ἐξήμαρτε Σοὶ δῷ ἱκανοποίησιν.
Καὶ ἐπεμβαίνει πῶς θαρσῶν αὐτῷ τῷ βασιλεύοντι
ὁ ἔνδικος ὑπεύθυνος, ἔτι καὶ γέρας ἀξιῶν
τὸ μηδαμῶς μηδέποτε αὐτῷ ὂν ὀφειλόμενον;
καὶ παροξύνει μὲν ὀργὴν ἄφρων υἱὸς καλοῦ πατρὸς
ὁ μετὰ γλῶτταν λοίδορον, ἣν κατ᾽ αὐτοῦ ἐκίνησεν,
καὶ λοιδορίαν τε πολλήν, ἣν κατ᾽ αὐτοῦ ἐξήντλησεν
μὴ τὸ παράπαν μεταγνοὺς καὶ δὴ διατεινόμενος
εἰσενεχθῆναι ὡς υἱὸς καὶ εἰς τὸν κλῆρον τοῦ πατρός.
᾽Αλλὰ ὦ Πάτερ μέμνημαι αὐτὸς ὧν περ ἐποίησα.
Θάνατος μοὶ ἀπόκειται ἐπὶ τοῖς πεπραγμένοις μοι,
ἐγὼ δὲ ἀπαιτῶ ζωήν. Πολλάκις παρεπίκρανα
τὸν γλυκερὸν Δεσπότην μου καὶ νῦν ὁ ὅλως ἀναιδὴς
κράζω ἐπιβοώμενος τὴν ἐξ αὐτοῦ ἀντίληψιν.
Παρεῖδόν μου τὸν δικαστήν, ὅν περ ἐπικαλοῦμαι νῦν
ὡς μόνον μου συλλήπτορα· καὶ ἀλαζονευσάμενος
παρήκουσα τοὐμοῦ Πατρός, ὃν ἕξειν τε ὑπείληφα
καὶ κληροδότην ἀγαθόν.
Οἴμοι! ὀψὲ προσέρχομαι! ᾽Ιούμοι! ἥκω ὡς βραδύς!
Οὐαί μοι ἤδη σπεύδοντι μετὰ τοσαῦτα τραύματα
καὶ μὴ προελομένῳ μοι ἔτι ἀτρώτῳ πέλοντι
σπουδαίως προφυλάξασθαι τὰ φλογερὰ τοξεύματα.
Οὔ μοι ἐμέλησέ ποτε τὰ βέλεμνά με προϊδεῖν·
νῦν τοῦ θανάτου μεριμνῶ τοῦ ἤδη με πελάζοντος.
Τραύματα ἐπὶ τραύμασιν ὁ τάλας προσενέτριψα
ὅτι ἐπ᾽ ἀνομήμασι προσθεῖναι ἀνομήματα
οὐκ ἔδεισα ὁ δείλαιος, τῇ λύμῃ τῇ προσφάτῳ δὲ

οὐλὰς μοὶ προσεπέθηκα. Καὶ γὰρ ἐπὶ τὰ πάλαι μοὶ
ἡμαρτημένα αὖθίς τε προσφάτοις ἁμαρτήμασιν
ὁ τάλας ἐπανέκαμψα.
Καὶ ἃ μὲν ἡ παρὰ Θεοῦ ἴασίς μοι συνούλωσεν,
τῆς ἀφροσύνης ὁ κνισμὸς αὖθις αὐτὰ διέλυσεν,
τὸ δὲ ἐπὶ τοῖς μώλωψι δέρμα ἤδη ἐπενεχθὲν
καὶ κρύψαν τὴν κακότητα, προσεπαναρρυέντος αὖ
τοῦ πύου ἀπὸ τῶν πληγῶν, σέσηπε καὶ ἐξώζεσεν.
Καὶ γὰρ ἡ ἀνομία μου προσεπαναληφθεῖσά μοι
φροῦδον τὸν θεῖον ἔλεον τὸν προδεδωρημένον μοι
ὥσπερ εἰκὸς ἀνέδειξεν. Οἶδα γὰρ ὅπερ γέγραπται
᾽Εν τῷ στραφῆναι δίκαιον ἐκ δικαιοσυνῶν αὐτοῦ....
οὐ μὴ μνησθῶσιν ἐν καιρῷ δικαιοσύναι αἱ αὐτοῦ.
Εἰ οὖν τοῦ παραπίπτοντος δικαίου ἐξαπόλλυται
δικαιοσύνη ἡ αὐτοῦ, ἡ τοῦ ἡμαρτηκότος αὖ
μετάνοια ἡ πρότερον καὶ τοῖς προτέροις πταίσμασι
μωρῶς παλινδρομήσαντος πόσῳ μᾶλλον ἐξίτηλος
αὕτη ὀρθῶς γενήσεται; Οὗτος τῷ τῆς παραβολῆς
κυνὶ ὁμοιωθήσεται καὶ τῇ ὑϊ δειχθήσεται.
῾Ομολογῶ εἰλικρινῶς, ὅτι οὐκ ἔστι ῥᾴδιον
οὐδὲ ἐπιμνησθῆναί μοι ὁπόσους ὑπεδίδαξα
ἐξαμαρτάνειν ὡς ἐμέ· καὶ ἀναβαλλομένους δὲ
τὸ πλημμελεῖν συνέπεισα, προσισταμένους δὲ αὐτοὺς
λόγοις ἐγὼ κατήπειξα· καὶ προθεμένοις ἁμαρτεῖν
ἐγὼ αὐτοῖς συνῄνεσα.
διαπορευομένοις εὖ παγίδ᾽ αὐτοῖς ὑπέστησα,
τοῖς τὴν εὐθεῖαν βαίνουσι βόθρον ἐγὼ ὑπώρυξα,
ὡς δὲ οὐδὲ ὠρρώδησα ποιῆσαι τὰ τοιαῦτ᾽ ἐγώ,

οὕτως οὐδὲ κατέπτηξα ἐπιλαθέσθαι τε αὐτά.
Ἀλλὰ ὁ δίκαιος Κριτής, ὁ ἀνομίας σημειῶν
ἁπάσας τρίβους τὰς ἐμάς, θυλάκῳ ἐπετήρησας
ἐξαριθμήσας πάντα δὲ τὰ διαβήματά μου Σὺ
ἀεὶ ἐμακροθύμησας ἀεί τε ἐσιώπησας
ἀεί τε ὑπεσίγησας· οὐαί μοι! φθέγξει τέως δὴ
ὡς ὅτ᾽ ἐγγίζει τοῦ τεκεῖν γυνὴ ἡ ἐπωδίνουσα.

ΚΕΦΑΛΑΙΟΝ Δ΄

Ὁ τοῦ Κριτοῦ φόβος.

Κύριε καὶ Θεὲ παντεπόπτα· τὸ παντέφορον ὄμμα Σου οὔτις
μοχθηρία ποτ᾽ ἂν διαλάθοι! Οἶδα ὡς ἐμφανῶς ποτε ἥξεις.
Οἶδα ὡς οὐκ ἀεὶ σιωπήσει, πῦρ δ᾽ ἐνώπιόν Σου κα-
[ταφλέγον
ἐκκαυθήσεται καὶ καταιγίς δὲ ἐκραγήσεται κύκλῳ ταχεῖα,
ὁπηνίκα ἡ σάλπιγξ ἠχήσει, συγκαλέσεις δὲ ἐνώπιόν Σου
οὐρανόν τε καὶ γῆν ὡς Δεσπότης διακρῖναι Χριστὲ τὸν
[λαόν Σου.
Τότε δὴ κατ᾽ ἐνώπιον πάντων μυριάδων λαῶν παρε-
[στώτων
γυμνωθήσονται αἱ ἁμαρτίαι αἱ πολλαὶ ὑπ᾽ ἐμοῦ πε-
[πραγμέναι·
καὶ τοσούτων ἀΰλων ταγμάτων οὐρανίων ἁγίων ἀγγέλων
τὰ ἐμὰ ἀνομήματα πάντα φανερὰ τότε ἔσοντ᾽ οὐχ ὅσα
μόνον ἔπραξ᾽ ὁ τάλας ἀφόβως, ἀλλὰ ὅσα τε ἐνεθυμή-
ὅσα τε κατελάλησα γλώσσῃ. [θην,

Πρὸ τοιούτου λοιπὸν κριτηρίου δικαστῶν τε ἐγὼ πρὸ
[τοσούτων
παραστήσομ᾽ ἐξηπορημένος· καὶ πληθύος δὲ ὑπὸ τοσαύτης
ἀπελεγχθήσομαι κατηγόρων, ὅσοι ἂν πρὸ ἐμοῦ εὑρε-
[θῶσι
τἀγαθὰ ἀγαθῶς πεπραχότες· τῶν αὐτούς γε μοι προ-
[στησαμένων
δεῖγμα τοῦ ἐναρέτως βιῶναι. Ἐπὶ μάρτυσι τοίνυν το-
[σούτοις
κατακρίνεσθαι μέλλω ὁ τάλας, μὴ προφέρων κἂν ἀπο-
[λογίαν,
ὅσα ἅμοι συνοίσειε πάντα καθυπέβαλλόν οὗτοι ποιεῖν με,
λόγοις τε παραινοῦντες πολλάκις καὶ ἐμὲ διεγείροντες
[πάντες
ἀρεταῖς ταῖς αὐτῶν εὐδοκίμοις πρὸς μιμήσεως ζῆλον
[συγχρόνως.
Κύριέ μου οὐδὲ τότε ἔπεισί μοι ὅ,τι καὶ εἴπω ὁ τάλας,
οὐδέν γάρ μοι ἐπέρχεται ὅλως, ὅπερ ἂν Σοὶ καὶ ἀπο-
[κριναίμην.
Καὶ ἰδοὺ τοίνυν ὡς παρεστῶτα ἐπ᾽ ἐκείνῳ τῷ δικαστηρίῳ
ἡ συνείδησις μὲ ἐξελέγχει, ὀδυνᾷ τὰ κρυπτὰ τῆς καρδίας·
μὲ στενοῖ ἡ φιλοχρηματία, καὶ ἡ ἔπαρσις μὲ στηλιτεύει,
μὲ ἐκτήκει δὲ ἡ βασκανία, καὶ μὲ φλέγει ἡ ἐπιθυμία·
μὲ ὀτρύνει δὲ ἡ ἀκρασία, ἡ λιχνεία δὲ μὲ καταισχύνει,
καὶ ἡ μέθη μὲ ἐξελέγχει, ἡ καταλαλιὰ μὲ σπαράττει,
καὶ κουφίζει ἡ φιλοδοξία, ἡ δὲ μὲ ἁρπαγὴ ἐπιπλήττει,
ἡ διχόνοια δὲ διασπᾷ με. ἡ ὀργὴ δὲ μὲ ἐκταράττει·
μὲ χαυνοῖ δὲ ἡ ἠπιότης, καὶ ἡ νάρκωσις μὲ ἀπαμβλύνει.

ἡ ὑπόκρισις μὲ παρακρούει, ἡ θωπεία δὲ αὖ με ἐχθραύει,
ἡ τῶν φίλων με χάρις ἐπαίρει, καὶ ἡ διαβολή δέ με νύττει.

—

Ἰδοὺ ὁ ἐξ ἐχθρῶν δεινῶν ὀργίλων τε ῥυόμενος,
ἰδού τίσιν ἐκ γενετῆς ἐγὼ ναὶ συνεβίωσα,
οἷς μάλιστα ἐσπούδασα, τίσιν ἐνεπιστεύθην τε!
Αὐτὰ δὴ ταῦτα οἷς ἐγὼ σπουδάζων κατεφίλησα,
νῦν ταῦτα κατακρίνει με. ἅπερ ἐγὼ ἐπήνεσα,
ταῦτα νῦν καταψέγει με. οὗτοί εἰσιν οἱ φίλοι μου
ἐν οἷς ἐγὼ ὑπέστερξα· οὗτοι οἱ καθηγήτορες
ἐν οἷς ἐγὼ ὑπήκουσα· οὗτοι δὲ οἱ δεσπόται μου
ἐν οἷς ἐγὼ ἐδούλευσα. οὗτοι μοι οἱ συμβουλευταὶ
ἐν οἷς ἐπείσθην ὡς μωρός. οἱ συμπολῖταί μου αὐτοὶ
οἷς καὶ συνῴκησα ἐγώ. καὶ οὗτοι οἱ οἰκειακοὶ
οἷς συνεφρόνησα ἐγώ.

—

Ἰού μοι ὁ Βασιλεύς μου, Ἰού μοι καὶ ὁ Θεός μου,
ἵνα τι ἡ παροικία μοι τοσοῦτον ἐμακρύνθη;
Ἰού μοι ὁ φωτισμός μου ὅτι μετὰ σκηνωμάτων
τοῦ Κηδὰρ ἐσκήνωσα νῦν.
Καὶ εἴ γε ὁ Προφητάναξ πολλὰ ἔφη περὶ τούτων
πόσῳ πλείονα ὁ τάλας ἐξισχύσω ἐγὼ λέγειν;
Ὡς πολλὰ παρῴκησε ναὶ ἡ ψυχή μου, ὁ Θεός μου.
οὐ δικαιωθήσεται δὲ πᾶσα σὰρξ ἐνώπιόν σου·
οὔτε ἐν υἱοῖς ἀνθρώπων ἐπεστήρικτ' ἡ ἐλπίς μου.
Τίνα γὰρ Σὺ ἐν τῷ κρίνειν δίκαιόν ποτε εὑρήσεις,
ἂν τὸ θεῖον ἔλεός σου ἀπ' αὐτοῦ Σὺ ἀποστήσῃς;
ἐὰν μὴ κατοικτιρήσῃ ὁ κριτὴς τὸν ἄνομον Σὺ

οὐδεὶς ἐξαιρεθήσεται, ὃν ἡ κρίσις Σου ἡ θεία,
ἅτε πεπολιτευμένον ἀκριβῶς κατὰ τὸν νόμον
ἤμελλεν ἐπιδοξάσαι.

—

Πιστεύω, Κύριε Θεέ, τῆς σωτηρίας μου Θεέ,
πιστεύω δὴ ἐνωτισθεὶς ὡς ἡ ἀγαθωσύνη σου
καὶ ἡ πολλὴ χρηστότης σου μὲ προσκαλεῖται Κύριε
εἰς ταχινὴν μετάνοιαν, τὰ χείλη τὰ νεκτάρια
Τοῦ Σοῦ γλυκέος στόματος ἐνήχησάν μου τοῖς ὠσίν.
Οὐδείς πω δύναται ἐλθεῖν εἰ μὴ ὁ πέμψας με Πατὴρ
αὐτὸν ἑλκύσαι πρὸς ἐμέ.
Οὐκοῦν ἐπείπερ Σὺ αὐτὸς Χριστὲ ἐμὲ ἐδίδαξας
καὶ ὥσπερ εἶ εὐΐλατος καὶ πανοικτίρμων Κύριος,
οὕτω μὲ ἐξεπαίδευσας καὶ τῇ διδασκαλίᾳ Σου.
ὅθεν ἐκ μέσης, Κύριε, βοῶ σοι τῆς καρδίας μου
καὶ ὅλης διανοίας μου καὶ ἱκετεύω Σε θερμῶς·
Ὦ Πάτερ παντευλόγητε, Υἱὲ Θεοῦ ἀγαπητέ,
καὶ πνεῦμα τὸ πανάγιον ἐπικαλοῦμαι ἕλκυσον,
ὅπως ὀπίσω Σου κἀγὼ δραμοῦμαι εὐφραινόμενος
ἐκ τῆς ὀσμῆς τοῦ μύρου Σου, ἐκ τῆς ἡδίστης Σου [ὀσμῆς.

ΚΕΦΑΛΑΙΟΝ Ε'

Ἐπίκλησις τοῦ Πατρὸς διὰ τοῦ Υἱοῦ.

Ἐπικαλοῦμαί Σε, Θεέ, θερμῶς ἐπικαλοῦμαί Σε
ὅτι ἐγγὺς Σὺ πᾶσιν εἶ τοῖς ἐπικαλουμένοις Σε
ἐν ἀληθείᾳ, Κύριε, Σὺ εἶ γὰρ ἡ ἀλήθεια,

Σὺ δίδαξόν με, δέομαι, τοῦ Σοῦ ἐλέους ἕνεκεν,
Σὺ ἡ αὐτοαλήθεια ἡ παναγιωτάτη Σύ.
Ἐκδίδαξόν με, Κύριε, ἐπικαλεῖσθαί Σε ἀεὶ
ἐν ἀληθείᾳ ἐκ ψυχῆς· ὡς γὰρ προσήκει δέεσθαι
ἐγὼ μὲν ὅλως ἀγνοῶ, ἐκδιδαχθῆναι δ᾽ ὑπὸ Σοῦ
τῆς ἀληθείας ταπεινῶς καθικετεύω Κύριε.
Τὸ γὰρ Σοῦ ἄνευ τι φρονεῖν ἴσον ἐστὶ παραφρονεῖν.
Τὸ δὲ εἰδέναι Σέ ἐστι φρονεῖν τε καὶ ἐπίστασθαι,
Σὺ τοίνυν με συνέτισον, Σὺ ἡ Σοφία τοῦ Θεοῦ
καὶ ἐκ τοῦ θείου νόμου σου, Σὺ δίδαξόν με ὁ Θεός.
Πιστεύω γὰρ ὅτι ἐστὶν ὡς ἀληθῶς μακάριος,
ὃν ἂν παιδεύσῃς, Κύριε, καὶ ἐκ τοῦ νόμου Σου αὐτὸν
διδάξῃς Σὺ ὁ Κύριος.
Ἐπικαλεῖσθαί Σε ἀεὶ ἐπιποθῶ ἀπὸ ψυχῆς,
ὃ γένοιτό μοι ὁ Θεός, ἐν ἀληθείᾳ ἀντιβολῶ.
Τί δ᾽ ἔστιν τὴν ἀλήθειαν ἐν ἀληθείᾳ πάντοτε
ἐπικαλεῖσθαι, ἀλλ᾽ ἢ τὸ ἐν τῷ Υἱῷ τῷ γεννητῷ
ἐπικαλεῖσθαι τὸν Θεὸν Πατέρα τὸν ἀγέννητον;
Τοιγαροῦν Πάτερ ἅγιε, ὁ Λόγος Σου ὁ ἅγιος
αὐτός ἐστιν ἀλήθεια, καὶ ἡ ἀρχὴ τῶν λόγων Σου
ἐστὶν ἡ αὐταλήθεια· αὕτη τῶν λόγων Σου ἀρχὴ
ὅτι ὁ Λόγος ἐν ἀρχῇ. Ἐν ταύτῃ οὖν δὴ τῇ ἀρχῇ
τῇ προανάρχῳ καὶ ἀρχῇ λατρεύω Σοι τῷ ποιητῇ.
Ἐν τούτῳ γε τῷ Λόγῳ νῦν τῆς θείας ἀληθείας Σου
ἐπιβοῶμαί Σε Θεὲ τὴν ὑπεράρχιον ἀρχὴν
καὶ ὑπερτελεστάτην Σε ἀλήθειαν καὶ δέομαι.
Σὺ πανυπέρτατε Θεέ, ἐν ᾧ ἐστ᾽ ἡ ἀλήθεια,
Σὺ μὲ ἀεὶ κατεύθυνον καὶ ἐν ἀληθείᾳ δίδαξον.

Τί γὰρ ἂν ἥδιον ἐμοὶ γένοιτο ἢ τὸ δέεσθαι
καὶ τὸ ἐπικαλεῖσθαί με ἐν τῷ ὀνόματι αὐτοῦ
τῷ τοῦ Μονογενοῦς Υἱοῦ Πατέρα τὸν ἀγέννητον,
καὶ ἐπικάμπτειν ἀσφαλῶς εἰς χάριν τὸν γεννήτορα
διὰ τῆς ἀναμνήσεως τοῦ τοῦ Υἱοῦ ὀνόματος ;
τοῦ διὰ ἐπικλήσεως τοῦ τέκους τοῦ ἀγαπητοῦ
τὸν Βασιλέα δυσωπεῖν; Καὶ γὰρ οὕτω εἰώθασιν,
οἱ ἔνοχ᾽ ἀπορρύεσθαι ἀπὸ τῶν ἑαυτῶν εἱρκτῶν,
οὕτω καὶ οἱ χειράφετοι λύεσθαι ἀπὸ τῶν δεσμῶν,
οὕτως οἱ ἀπαγόμενοι εἰς θάνατον εἰώθασιν
οὐ μόνον ἐπαφίεσθαι, ἀλλὰ καὶ χάριτός τινος
μηδὲ προσδοκωμένης κἂν προσαπολαύειν εὐμενῶς,
τοὺς γόνους προβαλλόμενοι τοῖς ὀργισθεῖσιν ἄρχουσιν.
Οὕτω πως τὰ δουλάρια πταίσαντα διεκφεύγουσι
τοὺς ἐτασμοὺς τῶν δεσποτῶν, τῆς τῶν υἱῶν γλυκύτη-
μεσιτευούσης πρὸς αὐτούς. [τος
Οὕτως, ὦ Πάτερ ἅγιε, κἀγὼ ἐκλιπαρῶ Σε νῦν
πρὸς τῆς τοῦ πανοικτίρμονος Υἱοῦ Σου τοῦ Μονογενοῦς
ἀπείρου ἀγαπήσεως, «ἐξάγαγε ἐκ φυλακῆς,
Κύριε, τὴν ἐμὴν ψυχὴν τοῦ ἐξομολογεῖσθαί Σοι
ἐν τῷ ὀνόματι τῷ Σῷ» ἐκλύτρωσαί με δέομαι
ἐκ τῶν βαρέων μου δεσμῶν τοῦ πλήθους τῶν ἁμαρτιῶν
πρὸς τοῦ συναϊδίου σου Υἱοῦ Σου τοῦ Μονογενοῦς,
καί μοι δὴ ἐξιλεωθεὶς τῇ ὑπερτίμῳ χάριτι
τοῦ Σοῦ Μονογενοῦς Υἱοῦ τοῦ καθημένου δεξιοῖς
μετάβαλέ μοι πρὸς ζωήν,

—

Τίνα ποτέ Σοι ἕτερον προβάλω ὑπὲρ ἐμαυτοῦ

ὦ Πάτερ μεσιτεύοντα πλὴν τοῦ ἀγαπητοῦ Υἱοῦ;
ὃς ἱλασμὸς ἡμῖν ἐστιν καὶ τῶν ἁμαρτιῶν ἡμῶν,
ὃς κάθηται ἐν δεξιοῖς πρεσβεύων Σοι ὑπὲρ ἡμῶν,
οὐκ οἶδα ὄντως ἕτερον.
Ἰδοὺ δὴ τοίνυν τίς ἐστιν παρά Σοι τῷ Θεῷ Πατρὶ
ὁ μόνος μου συνήγορος.
Ἰδού Σοι ὁ Ἀρχιερεὺς ὁ Μέγας μοι συνηγορεῖ
ὁ μὴ δεόμενος ἀμνοῦ καὶ ἀλλοτρίου αἵματος
ὥστε Σὲ ἐξιλάσασθαι·
ὅτι τῷ αἵματι αὐτοῦ λάμπει περιρρεόμενος.
Ἰδού Σοι θῦμα ἅγιον, εὐάρεστον καὶ τέλειον
καὶ εὐωδίας εἰς ὀσμὴν προσφέρομεν εὐπρόσδεκτον.
Ἰδοὺ ὁ ἄμωμος ἀμνός, ὁ ἔναντι τοῦ κείροντος
ἄφωνος· ὁ προσραπισθεὶς ὁ ἐμπτυσθεὶς ὀνειδισθεὶς
μηδ' ὅλως διανοίξας δὲ αὐτὸς τὸ στόμα ἑαυτοῦ.
Ἰδοὺ ὃς οὐκ ἐποίησε τὴν ἁμαρτίαν πώποτε,
ὁ ἁμαρτίας τὰς ἡμῶν ἐπὶ τῶν ὤμων ἐνεγκών,
καὶ μώλωψι τοῖς ἑαυτοῦ ἐξιασάμενος ἡμᾶς
ἐκ τῶν ἀσθενειῶν ἡμῶν.

ΚΕΦΑΛΑΙΟΝ ΣΤ'

Ὧδε ὁ ἄνθρωπος τὸ τοῦ Υἱοῦ πάθος τῷ Πατρὶ προβάλλεται.

Ἔπιδε Παντελεῆμον Πάτερ ἐπὶ τὸν Υἱόν Σου
τὸν οἰκτίρμονα Θεόν μου, τὸν ὑπὲρ ἐμοῦ παθόντα
ἀπηνῆ ἀνίλεά τε!

Βασιλεῦ ἐπίβλεψον δὴ ὑπερεύσπλαχνε, Θεέ μου,
δε ὁ παθὼν τίς ἐστιν; μνήσθητι ἵλεως γίνου,
ὑπὲρ οὗ ἐγένετο δὴ καὶ ὁ εὔσπλαγχνος υἱός Σου
πεποιθὼς ὑπὲρ ἐλέους.
Οὐκ αὐτός ἐστιν ὦ Πάτερ ὁ ἠγαπημένος τόκος,
ᾧ οὐκ ἔστιν ἁμαρτία, ὅν, ἵνα ἐξαγοράσῃ
τὸν παραπεσόντα δοῦλον, Σὺ παρέδωκας εἰς πάθος;
οὐκ αὐτός ἐστιν ὁ ῥύστης καὶ ζωῆς ὁ χορηγός μου,
ὃς ἐπὶ σφαγὴν προσήχθη ὥσπερ πρόβατον θυσίας
γεγονὼς ὑπήκοός Σοι μέχρι σταυρικοῦ θανάτου:
ὑπελθεῖν θανάτου εἶδος ἀπηνέστατον μὴ τρέσας;
Ἀναλόγισαι ὡς οὗτός ἐστιν ὁ τὴν σωτηρίαν
ὅλην διοικονομήσας· ὃν ἐκ τῆς δυνάμεώς Σου
πρὸ αἰώνων γεννηθέντα κοινωνὸν τῆς ἀσθενείας
τῆς ἐμῆς αὐτὸν γενέσθαι ἐνηυδόκησας Οἰκτίρμον.
Αὕτη ἐστιν ἐλεῆμον ἀληθῶς ἡ Σὴ Θεότης
καὶ τὴν ἀνθρωπίνην φύσιν οὖσα περιβεβλημένη,
καὶ ἐπὶ σταυροῦ ἑκοῦσα ἀνθρωπίνως ἀναβᾶσα
καὶ σαρκὶ τῇ προσληφθείσῃ ἐν αὐτῇ καθυποστᾶσα
τὴν κατάκρισίν μου πᾶσαν.

Ἐπίστρεψον δὴ Κύριε τοὺς ὀφθαλμούς Σου ὁ Θεὸς
ἐπὶ τὸ τοῦ ἐλέους Σου ἔργον τῆς ἀνεκφράστου Σου
μεγαλωσύνης Κύριε.
Θέασαι τὸν ἀγαπητὸν Υἱόν σου ἐπὶ τοῦ σταυροῦ
ἐντεταμένον σώματι, βλέπε ἀναδυούσας νῦν
τὰς χεῖρας αἵματα αὐτοῦ, καὶ ἄφες ἐξιλεωθεὶς
τὰς ἁμαρτίας, ἃς ἐμοῦ αἱ χεῖρες ἐξειργάσαντο.

Ὅρα γυμνήν τε τὴν πλευρὰν τὴν ἀποτόμῳ λογχισμῷ
διορυχθεῖσαν, Κύριε, καὶ ἀνακαίνισόν με Σὺ
ἐν τῇ πηγῇ τῇ μυστικῇ, τῇ ἔνθεν ἐκβλυσάσῃ μοι,
καθὰ ἐγὼ πεπίστευκα, τὴν θείαν ἀναγέννησιν.

Ἴδε τοὺς πόδας τοὺς ἁγνούς, ἴχνη τὰ ἀκηλίδωτα,
ἃ οὔ ποτε ἐβάδισαν ἐν τῇ ὁδῷ ἁμαρτωλῶν
ἀεὶ δὲ ἐν τῷ νόμῳ Σου εὐθέως ἐπορεύθησαν
ἥλοις διαπεπαρμένα ἐπὶ τοῦ ξύλου τοῦ σταυροῦ,
καὶ μεταστήσας τὰ ἐμὰ Κύριε διαβήματα
εἰς τὰς εὐθείας τρίβους Σου, ποίησον, πολυέλεε,
ἐκκλίνειν ἀπὸ τῆς ὁδοῦ ἐμὲ ἀποτρεπόμενον
τῆς ἁμαρτίας τῆς πικρᾶς.

Ἀπόστησον Σὺ ἀπ' ἐμοῦ τῆς ἀνομίας τὰς ὁδοὺς
καὶ ἵλεώς μοι χάρισαι, ὦ τῶν ἁγίων Βασιλεῦ,
τῆς ἀληθείας τὰς ὁδοὺς αἱρεῖσθαί με διαπαντὸς
αὐτοῦ γε χάριν, δυσωπῶ, ὃς τῶν ἁγίων ἅγιος
ὑπάρχει, ὑπεράγιος.

Αὐτοῦ δὴ τούτου ἕνεκεν τοῦ λυτρωτοῦ μου, Κύριε,
ποίησον διατρέχειν με τὴν τρίβον τῶν Σῶν ἐντολῶν,
ἵνα κἀγὼ ἐν πνεύματι συνενωθῆναί πως αὐτῷ
δυνήσωμαι τῷ τὴν ἐμὴν φορέσαι σάρκα Ἰησοῦ
μή γε ἀπαξιώσαντι.

Μὴ γὰρ οὐδ' ὅλως συνορᾷς Θεὲ Πατὴρ φιλόστοργε,
ὡς ἡ τοῦ Σοῦ ἀγαπητοῦ Υἱοῦ ἁγία κεφαλὴ
ἀπὸ δειρῆς ἐκκλίνασα παρεῖται εἰς τὸν θάνατον;

Ἐπίβλεψον τοίνυν Θεὲ ὁ πανοικτίρμων πλάστης μου
ἐπὶ τὸ πρόσλημμα αὐτὸ τοῦ γλυκυτάτου σου Υἱοῦ

καὶ φεῖσαι τοῦ προσλήμματος τῆς τοῦ ἀνθρώπου φύσεως
τοῦ ἀσθενοῦς σου πλάσματος τῆς ἄκρας ἀβληχρότητος.

—

Γυμνὰ τὰ στήθη πρόκεινται ἐπὶ σταυροῦ μαρμαίροντα
ἐν αἵματι δὲ ἡ πλευρὰ ἐρραντισμένη δείκνυται
αὐχμῶντα τὰ ἐντόσθια ἐκ τῆς ὀδύνης τέταται
παρεῖται φάη τὰ καλὰ καὶ ὠχριᾷ τὸ πρόσωπον
ριγοῦσιν οἱ βραχίονες, αὐτοῦ τὰ σκέλη κρέμανται,
τοὺς διατετρημένους δὲ ἀρδεύει πόδας ζωηρὸν
τὸ αἷμα τὸ μακάριον.

Ὦ θέασαι δὴ ἔνδοξε Γεννῆτορ ὑπερεύσπλαγχνε
τοῦ γλυκυτάτου Σου Υἱοῦ τὰ μέλη τὰ πολύτρωτα
ὡς διεσπάρακται αὐτά, καὶ μνήσθητί μου εὐμενῶς
τίς ἔστι μου ὑπόστασις.

Ὅρα φιλάνθρωπε Θεὲ τοῦ Θεανθρώπου τὴν ποινὴν
καὶ ἄνες τὴν τοῦ πλάσματος τοσαύτην ἀθλιότητα·
ἴδε τὴν ἔκτισιν αὐτοῦ τοῦ ἐκλυτρωσαμένου με
καὶ ἄφες τὰ ἐγκλήματα τοῦ λυτρωθέντος πλάσματος.
Αὐτός ἐστιν ὅν, Κύριε, ἐπάταξας ὑπὲρ ἡμῶν
καίπερ Υἱὸν ἀγαπητόν Σοι πεφυκότα εἴρηκας
ἐν ᾧ Αὐτὸς ηὐδόκησας,
Οὗτος ἐκεῖνος πάρεστιν ὁ ὅλως ἀναμάρτητος
ᾧ οὐχ εὑρέθη δόλος τις εἰ καὶ μετὰ ἁμαρτωλῶν
προσελογίσθ' ὁ δίκαιος.

—

ΚΕΦΑΛΑΙΟΝ Ζ'

Ἐνταῦθα ὁ ἄνθρωπος (ὁ Ἀδὰμ) ἐπιγινώσκει ἑαυτὸν ὄντα τῶν τοῦ Χριστοῦ παθημάτων παραίτιον.

Ὦ τέκνον μου γλυκύτατον τί ἔστιν ὃ ἐποίησας,
ἐφ' ᾧ τοιαύτην δίκην φεῦ! ἐκτίσασθαι ἀφόρητον;
Τί ὦ νεὰν παμφίλτατε ἐποίησας ὥστ' ἐνεγκεῖν
τὰ πάθη ταῦτα τὰ δεινά· τί τὸ ἀνόμημα τὸ Σόν;
Τίς ἔστιν ἡ σὴ ἐνοχή, τίς δὲ ἡ τοῦ θανάτου σου
αἰτία ἡ δικάσασα; τίς ἡ τῆς κατακρίσεως
τῆς σῆς ἐστιν ἡ πρόφασις;
Ἐγώ εἰμι, ἐγώ εἰμι τοῦ ἄλγους σου μόνη πλήγη
ὁ τῆς σφαγῆς ὑπεύθυνος, ἐγὼ ἡ τοῦ θανάτου σού εἰμι
[ἡ μόνη ἀφορμή,
ἐγώ εἰμι τὸ ἔγκλημα τῆς περὶ σὲ ἐκδικήσεως·
ἐγὼ ὁ μώλωψ τῶν παθῶν τὸ ἄλγος τῆς ὀδύνης σου.
Ὢ ξένου καὶ ὑπερφυοῦς καὶ παραδόξου κρίματος!
Ὢ τῆς ἀνερμηνεύτου καὶ τοῦ θείου διατάξεως!
Ὢ Μυστηρίου φοβεροῦ!
ὁ παραβάτης ἥμαρτεν, κολάζεται ὁ δίκαιος·
ὁ πταίστης πλημμελεῖ αὐτός, ὁ δὲ ἀθῷος πλήττεται·
προσκρούει ὁ παράνομος, καὶ κρίνεται ὁ Ὅσιος·
καὶ ἃ ὁ φαῦλος ὤφειλε, ταῦτ' ὁ χρηστὸς ἀπανατλᾷ·
ἅπερ ὁ δοῦλος κακουργεῖ, ὁ Κύριος ἐκτίννυσιν·
ὃ πταίει δὲ ὁ ἄνθρωπος, ταῦτα ὑπέχει ὁ Θεός.
Ὡς λίαν ὦ Υἱὲ Θεοῦ, ὡς λίαν ἡ ταπείνωσις
παρεξετάθη δι' ἐμέ, ἥ τ' ἄκρα συγκατάβασις·

καὶ ὑπερεθερμάνθη σοι ἡ πρὸς ἐμὲ ἀγάπη Σου·
καὶ ὑπερεπλεόνασε τὸ ἄφατον Σου ἔλεος
ὑπερεμεγαλύνθη δὲ ἡ πρὸς ἐμὲ χρηστότης Σου
καὶ προεξήχθ' ἡ σὴ στοργή, ἐφ' ὅσον προεχώρησαν
οἱ οἰκτιρμοί Σου Κύριε!
Αὐτὸς ἐγὼ ἠνόμησα Σὺ δὲ ὑπέσχες δίκας μοι
τὸ πονηρὸν ἐποίησα καὶ Σὺ νῦν κατακρίνεσαι.
ἐγὼ ἐξήμαρτον καὶ Σὺ ὡς δοῦλος μεμαστίγωσαι.
ἐγὼ ἐπήρθην πλανηθεὶς καὶ Σὺ νῦν τεταπείνωσαι.
ἐξετυφώθην ὁ πηλὸς καὶ Σὺ νῦν ἐξουδένωσαι.
ἐγὼ παρήκουσα καὶ Σὺ ἀντὶ ἐμοῦ ὑπήκουσας.
καὶ τῆς ἐμῆς παρακοῆς τὸ πταῖσμα Σὺ ἀπέτισας.
ἐγὼ ἐδείχθην ἀκρατὴς καὶ λίχνος καὶ Σὺ ἀντ' ἐμοῦ
ἐπείνασας ὁ ἐγκρατής.
ἐμὲ πρὸς βρῶσιν ἔθελξε τὸ ξύλον τὸ ἀθέμιτον,
Σὲ δ' ἡ ἀγάπη ἤγαγε ἐπὶ τὸ ξύλον τοῦ σταυροῦ
ἐγὼ μετέσχον τοῦ καρποῦ τοῦ ἀπαγορευθέντος μοι
καὶ Σὺ τῆς παραβάσεως ὑπέστης τὸ ἰκρίωμα.
ἐγὼ ἀπολαύω τῆς τροφῆς, Σὺ δ' ὀδυνᾶσαι ἐπὶ σταυροῦ.
ἐγὼ νῦν καθηδυπαθῶ, Σὺ δὲ τοῖς ἥλοις πέπαρσαι.
Καὶ ἐκηλήθην μὲν ἐγὼ τοῦ μήλου τῇ γλυκύτητι,
Σὺ δ' ἀπεγεύσω δι' ἐμὲ τοῦ ὄξους μετὰ τῆς χολῆς.
Συνήδεται ἡ Εὔα μοι καὶ συγχορεύει μετ' ἐμοῦ
καὶ ὀλοφύρεται πικρῶς καὶ συναλγεῖ ἡ Μαριάμ.
Ἰδοὺ παντάναξ ὕψιστε εὔσπλαγχνε ὑπερένδοξε
πρόδηλόν ἐστιν τὸ πραχθὲν δεινὸν ἀνοσιούργημα,
ἀλλὰ καὶ συμπαρίσταται ἡ ἄκρα εὐσπλαγχνία Σου

καὶ καταφαίνεται ἡ Σὴ δικαιοσύνη Κύριε
καὶ πρόκειταί μοι ἐμφανὴς ἡ ἀδικία ἡ ἐμή.

—

Τί οὖν ὁ Βασιλεύς μου ὁ πλάστης ὁ Θεός μου
τί Σοι ἀνταποδώσω ὑπὲρ ὧν δέδωκάς μοι;
Οὐ μὴ γάρ τις ἂν εὕροι ἀνθρώπου ἐν καρδίᾳ
ὅ,τι ὑπὲρ τοιούτων χαρίτων Οὐρανίων
γένοιτ' ἀποδοθῆναι ἄξιον ὑπὸ ταύτης.
Τί γὰρ ἂν τηλικοῦτον ἐπινοήσειέ ποτ'
ἀνδρὸς εὐμηχανία οἷον παραβληθῆναι
πρὸς τὸ πολὺ καὶ μέγα καὶ θεῖον ἔλεός Σου;
Οὐ γάρ ἐστιν οὐκ ἔστιν οἵα ἀνθρώπου φύσις
ἀντίδοσιν διδόναι, ἥτις τὴν γενομένην
αὐτῇ παρὰ τοῦ κτίστου ἀντισηκώσει δόσιν.
Ἀλλ' ἔστι μέντοι ἔστι Υἱὲ Θεοῦ καὶ Λόγε
ἐπὶ τῆς παραδόξου τῆς Σῆς οἰκονομίας
ὅ, ἐπαρκέσειεν ἂν ὥστε σοι ἀποδοῦναι
καὶ ἡ ἀσθένειά μου ἐὰν ἀνασταυρώσῃ
τὸ ἑαυτῆς σαρκίον σὺν ταῖς ἐπιθυμίαις
τοῖς πάθεσί τε ἅμα τῇ Σῇ συναντιλήψει
καὶ τῇ ἐπιφανήσει.
Τουτί γὰρ παρασχόντος αὐτίκα σοὶ συμπάσχειν
ἐνάρξεται καὶ αὐτή, τῷ ἀξιώσαντί μοι
θάνατον ὑπομεῖναι.
Οὕτω δέ, ὁ Θεός μου, Σοῦ με καθοδηγοῦντος
ἐπιρρωσθεὶς τελείως ὁ ἔσω ἄνθρωπός μου
καθοπλισθήσεταί τε πρὸς τοῦ ἐκτὸς ἀνθρώπου

καὶ τούτου ἀριστεύειν.
Τῆς γάρ τοι ἐπηρείας τῆς ἐν ἐμοὶ ἀρθείσης
τῆς ἐκ τοῦ πνεύματός μου καὶ εἰ ὑπὸ ῥομφαίᾳ
ἐνύλῳ ὑπαχθείην, διὰ τὴν σὴν ἀγάπην οὐ φοβηθήσομαί
Οὕτω Σοῦ εὐδοκοῦντος ζωσθήσομαι δυνάμει, [γε·
ὥστε περισωθῆναι μεγέθει σοῦ ἐλέους τοῦ διαπλάσαν-
Αὕτη ἐξίασις γὰρ οὐράνιός μοι ἔσται [τός με.
ὦ Ἰησοῦ Θεέ μου ἡ ἄκρα ἀγαθότης·
τοῦτο ἐμοί, ὦ Λόγε, ἀντίδοτον ὑπάρχει
τὸ ἐκ τῆς Σῆς ἀγάπης. Ὢ! Σὺ ἐπίχεαί μοι
ἐπὶ τοῖς τραύμασί μου τὰ θεῖά Σου ἐλέη.
Ὡς ἂν τῆς ἐχιδναίας τὴν λύμην ἀποπτυσας
ἀνήξαιμι ἐς αὖθις ἐφ' ἣν τὸ πρῶτον εἶχον
λαμπρὰν ὁλοκληρίαν.
Ἵνα γευσάμενός Σου τοῦ νέκταρος, Χριστέ μου,
καταφρονήσω πάσης πικρᾶς ἡδυπαθείας
τῆς με ἐπιθελγούσης καὶ τῆς δουλοπαθείας
τοῦ κόσμου τοῦ ματαίου, καὶ μὴ καθυποπτήξω
μηδὲν τῶν ἐν τῷ κόσμῳ μοι ἀντιφερομένων,
Σοῦ ἕνεκεν, Χριστέ μου, ἀλλὰ τῆς εὐπρεπείας καὶ
[τῆς μεγάλης δόξης
τῆς μοι δεδωρημένης παρὰ τῆς ἀπολύτου
Σῆς μεγαλοπρεπείας ἐπὶ τὴν μνήμην ἔχων
τελῶ ὑπεροπτεύων καὶ παρορῶν τελείως
τῆς ἐκ τῶν ὑπ' ἐκείνου ἐμοὶ ἀντιπνεόντων
ἀνέμων σφοδροτάτων καταπτοήσεώς μου.

—

Μηδὲν ὅλως Σοῦ ἄνευ Χριστέ μου, γλυκὺ ἔστω μοί
[ἀντιβολῶ Σε
καί μηδὲν ἀρεστὸν τίμιόν τε, παρεκτός Σου με ἐπι-
δ τερπνόν μοι δοκεῖ καὶ ὡραῖον, [θελγέτω·
δέομαί Σου ἐξουδενωθήτω πάντα τὰ χωρὶς Σοῦ, ὦ
[Χριστέ μου
ἅπαντά μοι εἰς βδέλυγμα κείσθω· τὸ φερόμενον ἀντί-
[ξοόν σοι
ὀχληρόν μοι γενέσθω αἰτοῦμαι, καὶ τό σοι δὲ εὐάρε-
[στον αὖθις
μοι γενέσθω ἀεὶ διὰ πόθου, ἀχθεινὸν μὲν τοῦ ἄνευ
[σου χαίρειν
καὶ θελκτήριον δέ μοι δοκείτω τὸ ὑπὲρ Σου λυπεῖ-
[σθαι καὶ στένειν.
Εἴη μοι τ᾽ ὄνομά Σου τὸ θεῖον Ἰησοῦ μου εἰς ἀνα-
[ψυχήν μου
καὶ τὸ Σοῦ με μιμνήσκεσθαι Λόγε γένοιτό μοι εἰς
[παραμυθίαν.
Ἐμοὶ ἄρτος νυκτὸς καὶ ἡμέρας τὰ θέρμὰ δάκρυά μου
[γενέσθω
ἐν τῷ μεμαθηκέναι με, Λόγε, κρίματα τῆς Σῆς δι-
[καιοσύνης.
Καὶ ὁ νόμος ὁ τοῦ στόματός Σου προτιμότερος ἔστω
[μοι Λόγε,
ὑπὲρ τὰς ἀριθμὸν χιλιάδας τοῦ χρυσίου καὶ τοῦ ἀργυ-
[ρίου

Ἔστω μοι καταθύμιον Σῶτερ τὸ ἀεὶ πειθαρχεῖν σοι
[προθύμως
καὶ ἐπάρατον ἔστω μοι αὖθις τῷ σῷ λόγῳ ἐμὲ ἀντι-
[βαίνειν.

Λιτάζομαί Σε ἐλπίς μου ἵλαθι ταῖς ἁμαρτίαις
κατὰ τὸ ἄπειρον πλῆθος, Χριστέ μου, τῶν οἰκτιρμῶν σου.
Διάνοιξόν μοι τὰ ὦτα ἀκούειν τὰς ἐντολάς Σου
καὶ τὴν καρδίαν μου φρούρει τοῦ μὴ ἐκκλίνειν εἰς λόγους
Θεέ μου τῆς πονηρίας τοῦ προφασίζεσθαι, Λόγε,
προφάσεις ἐν ἁμαρτίαις.
Διὰ τὸ μέγα Σου, Λόγε, καὶ ἅγιον ὄνομά Σου
Σοῦ δέομοι, πρὸς δὲ τούτοις τῆς θαυμαστῆς ἕνεκέν Σου
κενώσεως ἐξαιτοῦμαι μηδέποτε μοι ἐπέλθοι ὁ ποὺς
[ὑπερηφανείας
καὶ μὴ σαλεύσαι με, Λόγε, ἡ χεὶρ τοῦ παρανομοῦντος.

ΚΕΦΑΛΑΙΟΝ Η'

Ἐνταῦθα ὁ ἄνθρωπος ὑπὲρ τοῦ διαλλαγῆναι τῷ Θεῷ καὶ Πατρὶ τὸ τοῦ Υἱοῦ πάθος προβάλλεται.

Καὶ νῦν Δέσποτα Σὺ Παντοκράτορ ὁ Θεὸς καὶ Πα-
[τὴρ τοῦ Κυρίου
ἐπικάμφθητι τοῦ οἰκτιρῆσαι ἵλεώς μοι γενοῦ ἱκετεύω,
τῶν ἁπάντων γὰρ ὧν ἠδυνήθην ἐξευρεῖν τιμιώτατον
[Πάτερ

τοῦτο ἱκετικῶς σοι προσῆξα, τό Σοι μάλιστα ὃν ὑπὲρ
Σοὶ ἐν χάριτι παρεστησάμην. [πάντα
Τὸ λοιπόν μοι οὐδὲν ἀπομένει, ὅπερ ἂν τῇ Σῇ μεγα-
[λωσύνῃ
ἐγὼ ἅγιε Πάτερ προσθείην, οὐδέν μοι τι περίεστιν ὅλως
ὃ καὶ ἐπιπροσθήσομαι Πάτερ.
Καὶ γὰρ ἅπαν ἐφ᾽ ᾧ μοι ἐλπίσαι εἰς τὸ ὑπὲρ ἐμοῦ Σοι
προσεθέμην Σοι ἅγιε Πάτερ. [πρεσβεῦσαι
τὸν ἐμὸν παρακλήτορα Πάτερ τὸν Υἱόν Σου τὸν ἠγα-
προυβαλόμην σοι εἰς μεσιτείαν. [πημένον
Σοὶ προσήγαγον τὸν θεῖον γόνον μεσιτεύοντα ὑπὲρ
[ἐμοῦ Σοι.
Σοὶ ἀπέστειλα ὡς πρεσβευτήν μου τὸν δι᾽ οὗ πεποι-
[θὼς ὢν τυγχάνω
τῆς συγγνώμης Σου ἐπιτυχεῖν με ἐφ᾽ οἷς Πάτερ ἐγὼ
[ἥμαρτόν Σοι.
Διὰ λόγων τὸν Λόγον τὸν θεῖον Σοὶ ἀπέσταλκα, Πά-
[τερ οἰκτίρμον,
εἶπα γὰρ ὡς αὐτὸς ἀπεστάλη ὑπὲρ τῶν ὑπ᾽ ἐμοῦ πε-
[πραγμένων,
καὶ ἠρίθμησα τἄχραντα πάθη τοῦ Υἱοῦ Σου τοῦ
[ἁγιωτάτου
ἃ πιστεύω αὐτὸν ὑπομεῖναι ὑπὲρ τῆς τῶν βροτῶν σω-
[τηρίας.
Τὸν γὰρ ἀποσταλέντα ἐν κόσμῳ παρὰ Σοῦ θεῖον Λό-
[γον πιστεύω

εἰληφέναι τε φύσιν ἀνθρώπων, κατὰ ταύτην δὲ καὶ
[δεσμευθῆναι
ῥαπισθῆναί τε καὶ ἐμπτυσθῆναι, χλευασθῆναί τε καὶ
[ὑβρισθῆναι
καὶ τοῖς ἥλοις σταυρῷ προσπαγῆναι, καὶ τῇ λόγχῃ
[πλευρὰν ὀρυχθῆναι·
καὶ γὰρ τὴν ἀνθρωπότητα ταύτην νηπιάσασαν περι-
[βληθῆναι
τοῖς σπαργάνοις ἠθέλησεν οὗτος, καὶ ἡβήσασαν ἀκ-
[μάσασάν τε
τοῖς ἱδρῶσι προσταλαιπωρῆσαι καὶ νηστείαις ἐνδια-
[τακῆναι,
ἀγρυπνίαις τε ἐπιθλιβῆναι, καὶ πορείαις τε ἐγκοπιάσαι.
Εἶτα δ᾽ αὖθις αὐτὴν συσχεθεῖσαν κατωδύνως τε
[μαστιγωθῆναι
αἰκισθῆναί τε καὶ σπαραχθῆναι, τοῖς νεκροῖς δὲ ἐπι-
[λογισθῆναι·
ἀναστᾶσαν δ᾽ ἐνδόξως ἐκ τάφου εἰς Οὐράνια ἀναλη-
[φθῆναι
καὶ ἐν τοῖς δεξιοῖς καθεσθῆναι τῆς Σῆς ἅγιε μεγα-
[λωσύνης·
οὗτος ὁ περί μου ἐστιν οἶκτος, ἱλασμός τε ὁ παρά
[Σοῦ οὗτος.

—

Καὶ τοίνυν ὧδε δυσωπῶ Σὲ πρόσσχες, ὑπεράγαθε,
τίς ἐστιν, ὃν ἐγέννησας Υἱὸν τὸν συναΐδιον
καὶ τίς, ὃν ἐξηγόρασας δοῦλον διὰ τοῦ Σοῦ Υἱοῦ ;
ὧδε δὴ πάτερ ἀγαθὲ ἐπὶ τὸν πλάστην ἔπιδε

καὶ μὴ παρίδῃς, δέομαι, τὸ πλάσμα τῶν χειρῶν αὐτοῦ,
Σὺ τὸν ποιμένα ἄσπασαι, καὶ ἵλεως ἐπίβλεψον,
ἐφ᾽ ὃ ἐπὶ τῶν ἑαυτοῦ ὤμων σοὶ φέρει πρόβατον·
οὗτος ὁ τῶν προβάτων Σού ἐστιν ποιμὴν πιστότατος,
οὗτος ὁ τὸ πλανώμενον διὰ ὀρέων καὶ κρημνῶν
πολλοῖς παντοίοις μόχθοις τε ἀναζητήσας καὶ εὑρών·
ὅστις αὐτὸ μονονουχὶ ἐκθνῆσκον ἐν τοῖς ὄρεσι
καὶ ἐκ τῆς πλάνης τῆς μακρᾶς ἐκλεῖπον, τέως εὑρεθὲν,
ἐξ ἀπωλείας τοῦ βυθοῦ ἐξάρας περιπέπλεκται
ἀρρήτῳ ἐν φαιδρότητι ἐλέους συμπαθείας τε,
κἀπὶ τῶν ὤμων εἰληφὼς ἐπὶ τὰ ἐνενήκοντα
ἐννέα τὸ ἀπολωλὸς ἐς αὖθις ἐπανήγαγεν.

—

Ἰδοὺ, Θεὲ παμβασιλεῦ καὶ Παντοκράτορ Κύριε,
ἰδοὺ νῦν ἐπανάγει Σοι ὁ τῶν προβάτων σου ποιμήν,
ὅν οὐ κατέθου παρ᾽ αὐτῷ.
Τοῦ σῶσαι ἀνελάβετο ὃν Σὺ διέθου ἄνθρωπον
καὶ τοῦτόν Σοι ἀπέδωκε ἀπηλλαγμένον τῶν κηρῶν.
Ἰδοὺ ὁ ὑπερένδοξος Υἱός Σου Σοὶ κατήλλαξε
τὸ πλάσμα σου τὸ πλανηθέν.
Ἰδοὺ ὁ ἀγαθὸς ποιμὴν ἐπὶ τὴν ποίμνην ἤγαγεν,
ὃ ὁ ληστὴς καθήρπασεν.
Τὸν δοῦλον πρὸ σῶν ὀφθαλμῶν ὁ Σὸς Υἱὸς παρίστησιν,
ὅν περ αὐτὸ τὸ συνειδὸς δραπέτην Σου ἀπέφηνεν,
ἵνα ὁ γεγονὼς αὐτὸς κολάσεως ὑπεύθυνος
ἀξιωθείη παρὰ Σοῦ συγγνώμης καὶ ἀφέσεως
διὰ τῆς τοῦ ποιμένος Σου νῦν ἱκανοποιήσεως·
καὶ ᾧπερ, ἐφ᾽ οἷς ἔφθασε ἐξαμαρτήσας, γέεννα

ἐπέκειτο, τῇ χάριτι τοῦ τηλικούτου λυτρωτοῦ
μὴ ἀπογνοίῃ παντελῶς τῆς ἀνακλήσεως αὐτοῦ
πρὸς τὴν πατρίδα ἑαυτοῦ.
Ἐγὼ δὲ Πάτερ, ἅγιε, παρώξυνα δι᾽ ἐμαυτοῦ,
ἀλλ᾽ οὐκ ἰσχύω δι᾽ ἐμοῦ Σε νῦν ἐξιλεώσασθαι·
ὁ ἀντιλήπτωρ ὁ ἐμὸς ἐγένετο ὁ Σὸς Υἱὸς
ὁ τῆς σαρκός μου μετασχών, ἐφ᾽ ᾧ περ ἐξιάσηται
καὶ τὴν ἐμὴν ἀσθένειαν.
Ἵν᾽ ὅθεν προσελήλυθεν ὁ λόγος τοῦ παροξυσμοῦ,
ἐκεῖθεν προσενέγκοι τε θυσίαν σοι αἰνέσεως,
καὶ οὕτω μέτοχον κἀμὲ τοῦ θείου σου ἐξιλασμοῦ,
ὦ Πάτερ καταστήσαιτο.
Καθ᾽ ὅ,τι, ἐν τοῖς δεξιοῖς καθήμενος τοῦ θρόνου σου,
κοινὸν ἐόντα ἑαυτὸν ἀεὶ τῆς ἐμῆς φύσεως
εἰκότως ἀναδείξειεν.
Ἰδού Σοι ἡ ἐμὴ ἐλπίς, ἴδε μοι ἡ πεποίθησις,
εἰ καὶ πρεπόντως, Κύριε, μὲ παρορᾷς τὸν ἄθλιον
διὰ τὴν ἁμαρτίαν μου, ἀλλ᾽ ὡς οἰκτίρμων σπλαχνισθεὶς
ἐπίβλεψον καὶ ἐπ᾽ ἐμὲ ἕνεκεν τοῦ ἀγαπητοῦ
Υἱοῦ Σου τοῦ Μονογενοῦς.
Πρόσσχες Θεὲ τῷ Σῷ Υἱῷ καὶ πρὸς ἐμὲ τὸν δοῦλόν Σου
διὰ τὰ πάθη τὰ δεινὰ αὐτοῦ ἐξιλεώθητι.
Ἔπιδε τῆς σαρκώσεως ἐκείνου τὸ μυστήριον
καὶ ἄφες τὸ ἐκ τῆς σαρκὸς πρός Σε ἐμὸν ἁμάρτημα.
Ἐν ᾧ σοι τὰ τοῦ τέκους Σου προβάλλεται παθήματα
συγκαλυπτέσθω, λιπαρῶ, τὰ ἄπειρά μου πταίσματα.
Ἐν ᾧ Σοι τὸ ἐκ τῆς πλευρᾶς ἐκείνου αἷμα τῆς ἁγνῆς
ὑπέρτιμον ἐρευθιᾷ, δέομαι, ἐκπλυνέσθωσαν

τῆς μιαρίας τῆς ἐμῆς τὰ παμπληθῆ μολύσματα.
Ἐπεὶ δ' ἡ σὰρξ Σὲ πρὸς ὀργὴν πανάγαθε παρώξυνεν,
ἡ σὰρξ Σε ἐπικάμψειε πρὸς οἶκτον νῦν ἀντιβολῶ.
Ἵν' ὥσπερ εἰς τὸ πταῖσαί με ἡ σὰρξ αὐτὴ ἐνήγαγεν,
οὕτως ἡ σὰρξ προσάξηται εἰς τὸ συγχωρηθῆναί με.
Καίτοι γε ἔνοχον πολλῆς ποιεῖ με κατακρίσεως
τὸ μέγα μου ἀνόμημα, ἀλλ' ὑπερφέρει ὃ αὐτὴ
ἡ εὐσπλαγχνία ἀπαιτεῖ τοῦ θείου μου τοῦ λυτρωτοῦ.
Μεγάλη μὲν γὰρ πέφυκεν ἡ ἀδικία ἡ ἐμή,
ἀλλ' ἡ δικαιοσύνη δὲ τοῦ λύτρον ἀποτίσαντος
τοῦ Σοῦ Υἱοῦ ὑπὲρ ἐμοῦ μείζων αὕτη παρίσταται.
Ὅσῳ γὰρ ἔστ' ὑπέρτερος Θεὸς ἀνθρώπου χοϊκοῦ
τόσῳ ἐλάσσων πέφυκεν ἡ μοχθηρία ἡ ἐμὴ
τῆς ἀγαθότητος αὐτοῦ, κατά τε τὴν ποιότητα
κατά τε τὴν ποσότητα.

Τὶ γάρ ἐστιν ὃ ἄνθρωπος πρὸς τὸν Θεὸν ἐξήμαρτεν,
ὅπερ ὁ τοῦ Θεοῦ υἱὸς ἐκτίσας οὐκ ἠγόρασεν;
Τίς ἡ τοσαύτη τύφωσις ἡ οὕτως ἐξοιδήσασα,
ἣν ἡ τοσήδε τοῦ Υἱοῦ ὑπέρμετρος ταπείνωσις
οὐκ ἂν ἐξουδενώσειεν;
Ἡλίκον τοῦ θανάτου δὲ τὸ κράτος ἐστί, Κύριε,
ὃ οὐκ ἂν ἐξολέσειε τὸ σταυρικὸν κατάκριμα
τὸ τοῦ Υἱοῦ Σου καὶ Θεοῦ.
Τῷ ὄντι γάρ, ὦ ποιητά, εἰ τοῦ ἐξαμαρτήσαντος
ἀνθρώπου τὸ ἀνόμημα καὶ τοῦ ἐξαγοράσαντος
ἡ χάρις ἡ θεάνθρωπος ταλαντευθεῖεν ἐν ζυγῷ,
οὐχ οὕτως αἱ ἀνατολαὶ ἀπὸ δυσμῶν ἀπέχουσιν,
οὐδὲ ἡ ὑποχθόνιος χώρα τωῦ ἅλου οὑτωσὶ

ἀπέχει τῆς τοῦ Οὐρανοῦ ἁψῖδος, ὡς ἀπέχουσιν
ἡ χάρις τῆς παρακοῆς.
Νῦν οὖν ὁ ὑπεράγαθος καὶ τοῦ φωτὸς ὁ ποιητὴς
σύγγνωθι, ἱκετεύω Σε, τοῖς πλημμελήμασί μου Σὺ
τῶν ἀμετρήτων ἕνεκεν καμάτων τοῦ Μονογενοῦς
Υἱοῦ Σου τοῦ ἐκλυτρωτοῦ, Καὶ καταδαμασθήτω δὲ
τῇ τοῦ Υἱοῦ χρηστότητι ἡ μοχθηρία ἡ ἐμή,
καὶ τῇ ἐπιεικείᾳ δὲ ἡ χαλεπότης ἡ ἐμὴ
καὶ τῇ πραότητι αὐτοῦ ἀγερωχία ἡ ἐμή.
Νῦν ἡ ταπείνωσις αὐτοῦ ἀλαζονείαν τὴν ἐμὴν
καὶ ἡ εὐμένεια αὐτοῦ σκληροκαρδίαν τὴν ἐμήν.
καὶ ἡ ὑπομονὴ αὐτοῦ τὴν ἀτλησίαν τὴν ἐμὴν
καὶ τὴν ἀδημονίαν μου· καὶ ἡ ὑπακοὴ αὐτοῦ
τὴν τόσην μου ἀπείθειαν· ἡ γαληνότης ἡ αὐτοῦ
τὴν ταραχήν μου τὴν πολλὴν καὶ τὴν ἀνησυχίαν μου,
ἡ δὲ γλυκύτης ἡ αὐτοῦ τὴν ἄμετρον πικρίαν μου,
ἡ ἡμερότης ἡ αὐτοῦ ἐμοῦ τὴν ὀργιλότητα,
ἡ δὲ φιλανθρωπία αὐτοῦ τὴν ἐν ἐμοὶ ἀπήνειαν
καὶ τὴν ὠμότητα ἀπ' ἐμοῦ ἐκνικησάτω Κύριε.

ΚΕΦΑΛΑΙΟΝ Θ'

Ἐπίκλησις τοῦ Παναγίου Πνεύματος.

Ὦ τῆς ὑπεραρχίου θεότητος ὁ Ἔρως
καὶ τοῦ παντοδυνάμου πατρὸς ἡ κοινωνία
καὶ τοῦ παμμακαρίστου Υἱοῦ ἁγιωτάτη

καὶ συμφυὴς ἁπλῆ τε ἑνότης αἰωνία!
Τὸ πανσθενὲς τὸ θεῖον παράκλητόν μοι Πνεῦμα
παραμυθῆτορ θεῖε ψυχῶν τῶν τεθλιμμένων
ἐπίπνευσόν μοι νῦν δὴ καρδίας ἐν μυχίοις
τῇ Σῇ δραστικωτάτῃ καὶ θείᾳ Σου δυνάμει
καὶ φαίδρυνον σκηνῶσαν μαρμαρυγῇ φωτός Σου
τοὺς ζοφεροὺς κευθμῶνας τῆς σκοτεινῆς ψυχῆς μου
καὶ δρόσον οὐρανίαν ἐπιδαψίλευσόν μοι
ὥστε καὶ ἀναδεῖξαι τῇ θείᾳ σου ἐμπνεύσει
τοὺς ἐν αὐτῇ λαγόνας, τοὺς αὐχμηροὺς καὶ δίψῃ
πολλῇ μαραινομένους, γονίμους καρποφόρους.
Ὢ τρῶσον δέομαί Σου Πανάγιόν μου Πνεῦμα
τὰ τοῦ ἐντὸς ἀνθρώπου μυχαίτατά μου σπλάγχνα
βελέμνῳ σου τοξεύσας τῷ θείῳ καὶ πυρφόρῳ,
φλογὶ δὲ σωτηρίῳ ἕως ἥπατος βάθους
καὶ μυελῶν ὀστέων ὡς θεῖον πῦρ διῆξας
τὰ νορκωθέντα σπλάγχνα Σὺ διαπύρσευσόν μου
καὶ τῷ πυρὶ τῆς θείας διαθερμάνσεώς σου
ὅλον διαθερμάνας καὶ ἀναζέσας ὅλον,
τὰ ἔνδον τῷ πυρί Σου ἐπινεμήθητι
πάντα τὰ τῆς ψυχῆς καὶ τὰ τοῦ σώματος.

—

Τῆς τρυφῆς σου τοῦ χειμάρρου θεῖον Πνεῦμα πότισόν [με
καὶ μηδὲν τὸ ἀπὸ τούτου ὅλως μὲ ἐπιθελγέτω,
ὥστε καὶ ἐπιθυμεῖν με γεύσασθαί με τὸ παράπαν
τῆς γλυκύτητος τοῦ κόσμου.

—

Δίκασόν με, Κύριέ μου, καὶ τὴν κρίσιν μου Σὺ κρῖνον

ὁ ρυσάμενος ἐξ ἔθνους παρανόμου οὐχ ὁσίου.
Δίδαξόν με τοῦ ποιεῖν με, Κύριε, τὸ θέλημά Σου
ὅτι Σὺ εἶ ὁ Θεός μου.

—

Πνεῦμα Ἅγιον πιστεύω ὡς ἐν ᾧ ἂν Σὺ σκηνώσαις
τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ Σὺ σκήνωμα αὐτὸν ἐργάζῃ
καὶ μακάριος ἐκεῖνος, ὅς Σε ἐπαξιωθείη
δέξασθαί Σε, Πνεῦμα θεῖον.

—

Διὰ Σοῦ, ὦ Πνεῦμα θεῖον, καὶ τῇ Σῇ ἐπιφοιτήσει
ὁ Πατήρ τε ὁ Υἱός τε ἐν ἐμοὶ διαμενοῦσι,
σκήνωμα συγκαταβάντες ἑαυτῶν θέλουσι δείξει
καὶ μονὴν αὐτῶν ποιήσει.

—

Ὢ ἐλθὲ δὴ θεῖον πνεῦμα τῆς ψυχῆς μου παρακλῆτορ
ὁ ἐν εὐκαιρίαις πάσαις καὶ ἐν θλίψει ἀντιλήπτωρ
ὁ ἐκ μοχθηρίας πάσης τὰς ψυχὰς ἀποκαθαίρων
μώλωπάς τε θεραπεύων.

—

Ὢ ἐλθὲ τῶν τεθραυσμένων ἐπανόρθωσις τελεία
καὶ ἡ τῶν κατερραγμένων ἡ ἰσχύς, ἡ εὐεξία,
πάντων δὲ τῶν ἀπορούντων ἡ πλουσία εὐπορία,
ἡ τερπνὴ παραμυθία.

—

Ὢ ἐλθὲ Σὺ θεῖον Πνεῦμα τὸ τὰ πάντα καταυγάζον
τὸ τοὺς ταπεινοὺς φωτίζον πρὸς θεόν τε ἐπανάγον

πάντας δὲ τοὺς ἐπηρμένους ἐν σκοτίᾳ καταλεῖπον
καὶ τοὺς φαύλους καταστρέφον

—

Ὁ Πατὴρ ὁ ἐλεήμων ὁ χηρῶν τε ὀρφανῶν τε
ἀντιλήπτωρ καὶ προστάτης καὶ πτωχῶν ἐστερημένων,
ὁ ἀδικουμένων πάντων δικαστὴς καὶ ἐκδικήτωρ
Σὺ εἶ ὑπερασπιστής μου.

—

Ἡ ἐλπὶς τῶν πενομένων, σκέπη τῶν χειμαζομένων,
ἐπανάληψις πλουσία ἐνδεῶν ἐκλελοιπότων,
ὁ ἀστὴρ ναυτιλλομένων, ὁ λιμὴν τῶν ναυαγούντων
χειμαζόμενόν με σῶσον.

—

Ἡ ζωὴ πνοή τε ζώντων ἡ εὐπρέπεια τὸ κάλλος
ἡ χαρὰ καὶ σωτηρία πάντων τῶν τελειουμένων
τῶν πιστῶν ἡ εὐκληρία ἡ τῶν πάντων ἁρμονία
σεαυτῷ συνάρμοσόν με.

—

Πνεῦμα ἅγιον ἐλθὲ δή, ὢ ἐλθὲ ἐλέησόν με,
σεαυτῷ ἐφάρμοσόν με καὶ εὐίλατος γενοῦ μοι,
τῆς φωνῆς ἐνώτισαί μου πρόσσχες δέ μου τῇ δεήσει,
Πνεῦμα συγκατάβηθί μοι.

—

Ὡς τῇ Σῇ μεγαλωσύνῃ ἡ ἐμὴ μηδαμινότης
ἡ τελεία μου σμικρότης καὶ ἡ ἄκρα ἀβληχρότης
τῇ Σῇ κραταιᾷ ἰσχύϊ γένοιτο εὐάρεστός Σοι
κατὰ τὸ πολὺ καὶ μέγα, θεῖον Πνεῦμα, ἔλεός Σου
καὶ κατὰ τὸ μέγα πλῆθος τῶν ἀπείρων οἰκτιρμῶν Σου,

Διὰ Ἰησοῦ Σωτῆρος τοῦ σὺν Σοὶ ἑνιζομένου
τῷ Πατρὶ τῷ ἀϊδίῳ τοῦ συμβασιλεύοντός Σοι
Εἰς αἰῶνας τῶν αἰώνων.
Ἀμήν. Ἀμήν. Ἀμήν.

ΚΕΦΑΛΑΙΟΝ Γ'

Ἱκεσία δούλου Θεοῦ ταπεινὰ ὑπὲρ ἑαυτοῦ φρονοῦντος.

Οἶδα ὁ Θεός μου οἶδα, ὁ Θεὸς ὁμολογῶ σοι,
ὅτι οὐκ εἰμί ὁ τάλας ἄξιος τῆς Σῆς ἀγάπης,
ἀλλὰ ἄξιος Σύ πάντως εἶ τοῦ παρ' ἐμοῦ φιλεῖσθαι
καὶ ἀνάξιος ἐγώ μεν, ὁ θεός, τοῦ Σοὶ δουλεύειν,
ἀλλ' Αὐτὸς οὐ διὰ τοῦτο ἧττον ἄξιος ὑπάρχεις
τῆς παρὰ τοῦ κτίσματός Σου πρὸς τὸν Κτίστην σε [τῶν ὅλων
προσφορᾶς θείας λατρείας.
Δός μοι τοίνυν, δέομαί σου, Σὺ ὁ ἄξιος λατρείας,
ὡς κἀγὼ ἄξιος γίνω τοῦ λατρεύειν σοι ἀξίως.
Ποίησον δὲ ὁ θεός μου παύσασθαι τοῦ ἁμαρτάνειν.
Τοῦτο ὅπερ Σὺ ἐθέλεις, ἵνα Σοὶ ἀεὶ δουλεύειν
δύνωμαι, ὥσπερ ὀφείλω.
Χάρισόν μοι ὁ θεός μου οὕτως ἐμαυτὸν τηρεῖν με,
οὕτω δὲ καὶ κατευθύνειν καὶ τὸ ζῆν με ἐκπερᾶναι,
ἵνα ἐν εἰρήνῃ πάσῃ κοιμηθῶ τε καὶ ὑπνώσω.
Δέομαι παράσχου Σύ μοι ἐν τῷ τέλει τῆς ζωῆς μου,
ὅπως ἂν ἐν ἀναπαύσει καταλάβῃ με ὁ ὕπνος,

εἴη δ' ἡ ἀνάπαυσίς μου, Κύριε, ἐν ἀσφαλείᾳ,
ἡ ἀσφάλεια δὲ ἔσται ἐν αἰωνιότητί μοι. 'Αμήν.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'

Προσευχὴ πρὸς τὴν παναγίαν Τριάδα.

Σὲ τὸν ἀγέννητον Θεὸν Πατέρα ὑπερούσιον,
Σὲ τὸν μονογενῆ Υἱὸν Πατρὶ δὲ ὁμοούσιον,
Σὲ Πνεῦμα τὸ παράκλητον τὸ θεῖον καὶ ὁμόθρονον,
Ὦ παναγία Σὺ Τριὰς ἡ ἑνιαία καὶ ἁπλῆ,
μοναδική, ἀσύγχυτε, ἄτρεπτε, ἀδιαίρετε,
Σὲ νῷ, καρδίᾳ, στόματι ὁμολογοῦμεν οἱ πιστοὶ
καὶ Εὐλογοῦμεν ἐν ᾠδαῖς εἰς τοὺς αἰῶνας ἅπαντας.
['Αμήν.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'

Ἐξομολόγησις πρὸς Θεὸν τὸν πάντα δυνάμενον καὶ τῆς Μεγαλειότητος αὐτοῦ ἀνακήρυξις.

Ὦ ὑπερύψιστε Τριάς, ἡ μία θεία δύναμις,
Μεγαλωσύνη ἄφραστος, μία καὶ ἀδιαίρετος,
ὁ Παντοκράτωρ Κύριος θεὸς ὁ ὑπερούσιος,
Νῦν ἐξομολογοῦμαί σοι Σῶν δοῦλος ὁ πανέσχατος,
τῆς 'Εκκλησίας δὲ τῆς Σῆς τὸ μέλος τὸ ἐλάχιστον,

Νῦν ἐξομολογοῦμαί Σοι καὶ ὕμνοις σὲ δοξολογῶ,
θυσίαν τε αἰνέσεως ὀφειλομένην, εὐλαβῶς
προσάγω Σοι ὁ ταπεινὸς κατὰ τὸ μέτρον, Κύριε,
τῆς ἐν ἐμοὶ δυνάμεως καὶ τῆς σμικρᾶς μου γνώσεως,
ὅσον ἐμοὶ τῷ πολλοστῷ δωρήσασθαι ἠξίωσας.
'Επεὶ δέ τοι ἐξαπορῶ τῶν ὄντων τῶν ἐκτὸς ἐμοῦ
ἃ Σοὶ προσάξαιμι ἐγώ, ἰδοὺ δὴ Σοὶ τὰς ἐν ἐμοὶ
ἐκτελουμένας προσευχὰς δι' ὕμνων, αἴνων καὶ ᾠδῶν
ἃς ἐχαρίσω μοι, Θεέ, ἀφάτου ἐξ ἐλέους Σου,
ταύτας ἀνυποκρίτῳ Σοι πίστει καὶ συνειδήσει τε
ἄσμενός τε καὶ γεγηθὼς Σοὶ νῦν προσφέρω, Κύριε.
Πιστεύω τοίνυν, Κύριε, εἰς Σὲ τὸν ἐν τῷ Οὐρανῷ
καὶ ἐπὶ γῆς ἕνα Θεὸν τῶν ὅλων βασιλεύοντα
καὶ νῦν ἐπικαλοῦμαί Σε.
Ὁμολογῶ Σὲ τὸν Θεὸν Πατέρα τὸν ἀγέννητον
καὶ τὸν Υἱὸν τὸν γεννητὸν καὶ Πνεῦμα τὸ ἐκπορευτόν,
τὸν ἕνα μόνον τε Θεόν, προσώποις μὲν Τριαδικόν,
οὐσίᾳ δὲ μοναδικὸν καὶ ἑνιαῖον Κύριον,
Θεὸν δὲ ὄντ' ἀληθινὸν Κύριον παντοδύναμον,
τῇ φύσει ὄντα μὲν ἁπλοῦν ἀσώματον ἀόρατον,
πέλοντα ἀπερίγραπτον καὶ δὴ ἀπεριόριστον,
τὸν μηδὲν μεῖζον ἔχοντα μήθ' ὕπερθεν μήθ' ἔνερθεν,
τὸν πάντῃ ἄνευθεν τροπῆς παντοίας ὑπερτέλειον,
τὸν μέγαν πλὴν ποσότητος, καλὸν ἄνευ ποιότητος,
τὸν ἄνευ χρόνου αἰώνιον, τὴν ἄνευ πέρατος ζωήν,
ἰσχὺν τὴν ἀναλλοίωτον, ἀλήθειαν δὲ ἀψευδῆ·
τὸν ἄνευ θέσεως τοῦ ποῦ κεῖσθαι καὶ ὄντα πανταχοῦ,
τὸν ἄνευ τόπου καὶ αἰὲν ἑκασταχοῦ ὑπάρχοντα

τὸν ἄνευ δὲ ἐκτάσεως πληροῦντα κόσμον ἅπαντα,
τὸν ἄνευ ἀντιστάσεως προσαπαντῶντα ἅπασιν,
τὸν ἄνευ τε κινήσεως τὰ πάντα ὑπερβαίνοντα,
τὸν ἠρεμίας ἄνευθεν ἐντὸς τῶν πάντων μένοντα·
τὸν ἄνευθεν ἐνδείας καὶ τὰ πάντα αὐτὸν παράγοντα,
καὶ μόχθου ἄνευθεν αὐτὸν τὰ πάντα διεξάγοντα,
τὸν ἄνευθεν ἐνάρξεως ἀρχὴν τοῖς πᾶσι διδόντα,
τὸν ἄνευ ἀλλοιώσεως ἐξαλλοιοῦντα ἅπαντα,

—

Ὁμολογῶ μεγέθει μὲν Θεὸν Σὲ ὄντα ἄπειρον,
δυνάμει δὲ πανίσχυρον, σοφίᾳ ἀπερινόητον
καὶ τῇ παναγαθότητι ὄντα Θεὸν ὑπέρακρον,
ἐν ταῖς βουλαῖς δὲ φοβερὸν, ἐν κρίμασι δὲ δίκαιον,
ἐν τοῖς διανοήμασι νοῦν ἄπειρον καὶ κρύφιον,
ῥήμασιν ἀψευδέστατον, ἐν ἔργοις ὑπερόσιον,
ἐν οἰκτιρμοῖς δὲ πλούσιον, τοῖς πταίουσ᾽ ἀνεξίκακον
πρὸς τοὺς μετανοοῦντας δὲ τυγχάνοντα εὐίλατον,
τὸν ὄνθ᾽ ὡσαύτως ἐς ἀεὶ ἄτρωτον ἀναλλοίωτον,
Θεόν τε προαιώνιον, Θεὸν ὑπεραιώνιον,
ἀκήρατον, ἀΐδιον.

—

Οὐ διαστημάτων χῶρος ἐφαπλοῖ, οὐδὲ εὐρύτης,
οὐ συστέλλει δὲ στενότης, οὐ συνείργει τὸ δοχεῖον,
θέλησις οὐ μεθιστᾷ δὲ, οὐδ᾽ ἀνάγκη τις ἐκτρέπει,
οὐδ᾽ ἀνία ἐκταράττει οὐδὲ τέρψις ἐπιθέλγει,
ᾧ οὐκ ἐπιλησμοσύνη ὑφαιρεῖ τι τὸ παράπαν,
οὐδ᾽ ἡ μνήμη ὑποβάλλει.
ᾧ τὰ παρεληλυθότα οὐδὲ κἂν παροίχεταί πως

οὐδέ τε τὰ ἐπιόντα παραγίνεται ἐν χρόνῳ·
ᾧ τὸ εἶναι ἀρχὴν οὐκ ἔσχεν, οὐδ᾽ αὐτὸ τὸ διαρκεῖν τε
οὐδὲ ἐπιδέχεταί γε αὔξησιν ἐλάττωσίν τε·
οὔποτε δὲ ἕξει πέρας· ὅτι εἰς αἰῶνας μένεις,
ἐν αἰῶσι δὲ αἰώνων ἐς ἀεὶ Σὺ ζῶν ὑπάρχεις·
ἀδιάλειπτος δ᾽ ὁ αἶνος καὶ ἀΐδιος ἡ δόξα,
ἀκροτάτη ἡ δύναμίς Σου ἡ τιμὴ ἐξαίρετος δὲ
καὶ διηνεκὴς ὑπάρχει ἡ ἐν πᾶσι βασιλεία
εἰς ἀλήκτους ἀκηράτους καὶ ἀπείρους τοὺς αἰῶνας.

—

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'

Ὅτι ὁ Θεὸς καὶ Πατὴρ ἀντιλαβέσθαι τοῦ γένους τῶν ἀνθρώπων ἠξίωσε· καὶ ὑπὲρ τῆς τοῦ Θεοῦ καὶ Λόγου ἐνανθρωπήσεως Ὕμνος εὐχαριστήριος.

Ὦ Παντοκράτωρ Κύριε, ἐπόπτα τῆς καρδίας μου
Σῶτερ ὑπερευλόγητε!
Μέχρι τοῦ νῦν ἀνύμνησα τὴν δύναμιν τὴν κραταιὰν
Μεγαλωσύνης τῆς ἐν σοὶ καὶ τὴν μεγαλωσύνην δὲ
τῆς Σῆς Θεὲ δυνάμεως· νῦν δὲ ὅτι ἠξίωσας ἀντιλα-
[βέσθαι, Κύριε,
ἀνθρώπων γένους πάσχοντος ἐν χρόνου τῷ πληρώ-
ὡς εἰς δικαιοσύνην μου πιστεύω ἐν καρδίᾳ μου, [ματι,
οὕτω καὶ καθομολογῶ στόματ᾽ εἰς σωτηρίαν μου,
Σὲ τοίνυν μόνον τὸν Θεὸν Πατέρα τὸν ἀγέννητον
οὐδαμῇ πώποτ᾽ οὐδαμοῦ ἀποσταλῆναι γέγραπται,

ἀλλὰ περὶ τοῦ Σοῦ Υἱοῦ τοῦ θείου Ἰησοῦ Χριστοῦ
ὁ τῶν ἐθνῶν Ἀπόστολος οὕτω συγγράφων ἱστορεῖ·
ὅτε ἦλθε τὸ πλήρωμα τοῦ χρόνου ἐξαπέστειλεν
ὁ Θεὸς τὸν υἱὸν αὐτοῦ, εἰπὼν δὲ ἐξαπέστειλεν
τῷ ῥήματι ἐσήμανεν ὅτι ὁ ἐξαποσταλεὶς
εἰς τόνδε τὸν ἐπίγειον κόσμον αὐτὸς ἐλήλυθεν
ἡνίκα ἀπὸ τῆς ἁγνῆς ἀειπαρθένου Μαριὰμ
τῇ εὐδοκίᾳ τοῦ Πατρὸς καὶ συνεργείᾳ Πνεύματος
λαβὼν τὸ πρόσλημμα ἡμῶν σαρκὶ ἀφράστως γεννηθεὶς
ἡμῖν ἐφάνη ἀληθὴς καὶ τέλειος θεάνθρωπος.
Τί δ' ἔστιν ὃ περὶ αὐτοῦ τούτου τῶν εὐαγγελιστῶν
ὁ κορυφαῖος ἔφησεν, ὅτι αὐτὸς ἐν κόσμῳ ἦν,
ὅτι ὁ κόσμος δι' αὐτοῦ ὡς ποιητοῦ ἐγένετο;

—

Τί ποτ' ἄλλ' ἢ ὅτι αὐτὸς εἶχεν ἐνταῦθ' ἀποσταλεὶ
σωτὴρ τῇ ἀνθρωπότητι, ἔνθα καὶ ἦν καὶ ἔνεστιν
αὐτὸς ἀεὶ θεότητι; Τὴν ἄρα οὖν ἀποστολὴν
ταύτην τοῦ λόγου τοῦ θεοῦ ἔργον εἶναι ὁμολογῶ
τῆς θείας καὶ Μοναδικῆς Τριάδος τῆς Ζωαρχικῆς
καὶ στόματι καὶ χείλεσι κηρύττω ᾧ πεπίστευκα.
Ὦ πόσον οὖν ἠγάπησας ἡμᾶς, πανάγιε Πατὴρ,
πανάγαθε φιλάνθρωπε.
ὢ πόσον πολυεύσπλαγχνε καὶ περιεποιήσω Σύ,
Δέσποθ' ἡμᾶς τοὺς γηγενεῖς!
ὃς οὐδ' αὐτοῦ τοῦ Σοῦ Υἱοῦ ἐφείσω τοῦ μὴ δοῦναί Σε
αὐτὸν ὑπὲρ ἡμῶν Θεὲ τῶν ἄγαν Σοι ἁμαρτωλῶν!
ὁ δὲ Σοῦ καθυπήκουσε μέχρι θανάτου σταυρικοῦ
καὶ ἄρας τὸ χειρόγραφον τὸ τῶν ἡμῶν ἁμαρτιῶν

καθήλωσεν ἐπὶ σταυροῦ τὰ ἀμπλακήματα ἡμῶν,
ἀνεῖλε τῷ θανάτῳ δε ὡς δυνατὸς τὸν θάνατον,
εἷς τε καὶ μόνος ἐν νεκροῖς αὐτὸς ἐὼν ἐλεύθερος
ὡς ἐξουσίαν ἐσχηκὼς θεῖναι τὴν ἑαυτοῦ ψυχὴν
ὑπὲρ ἡμῶν τῶν ἀλιτρῶν, καὶ ταύτην αὖθις ὡς Θεὸς
ἀναλαβέσθαι δι' ἡμᾶς.

—

Τοιγαροῦν ὁ αὐτὸς ἀνεδείχθη ὁλοκαύτωμα καὶ ἀρχι-
[θύτης,
ἱερεὺς ἅμα καὶ Ἱερεῖον, νικητὴς νικητήριον θῦμα,
ἐπεὶ γὰρ ἱερεῖον ὑπῆρξε τούτου ἕνεκεν καὶ ἀρχιθύτης.
Καὶ εἰκὸς ἄρ' ἐμὲ ἐπ' ἐκείνῳ τὴν ἐλπίδα κρατύνε-
[σθαι πᾶσαν.
τὰς ἡμῶν γὰρ αὐτὸς ἀσθενείας τούτου χάριν καὶ
[ἐξυγιάσῃ
τοῦ Σοῦ ἐκ δεξιῶν καθημένου ἱκετεύοντος ὑπὲρ ἡ-
[μῶν Σε.
Αἱ ἀσθένειαι οὖν τῆς ψυχῆς μου καὶ ποικίλαι εἰσί
καὶ πολλαὶ καὶ ἀνίατοι ἅμα. [καὶ μεγάλαι

—

ἐν ἐμοὶ γὰρ ὁ ἄρχων τοῦ κόσμου
πολλὰ ἔχει αὐτοῦ καὶ μεγάλα,
οἶδ' ἐγὼ καὶ οὐ κρύπτω ὁ τάλας,
ἀλλὰ ῥῦσαί με Σύ, δέομαί Σου
διὰ τὸν λυτρωτὴν καὶ θεόν μου
τὸν καθήμενον ἐκ δεξιῶν Σου.
Δι' αὐτὸν τοῦτον δικαίωσόν με·
οὐ γὰρ ἐποίησεν ἁμαρτίαν,

οὐδὲ ἐν στόματι δόλος εὑρέθη·
Δι' αὐτὸν τοῦτον ὃς ἡμῶν ἐστιν
κεφαλὴ ἡμῶν ἁγιωτάτη,
ἐν ᾧ μῶμος οὐδείς γὰρ οὐκ ἔστιν.
Λύτρωσαί με, Θεὲ ἐλεῆμον,
ὡς αὐτοῦ πεφυκότα με μέλος
ἀβληχρὸν καὶ νοσῶδες, γινώσκω,
ἀλλὰ μέλος αὐτοῦ τοῦ ἁγίου.
Ρῦσαί με τῶν πολλῶν καὶ ποικίλων,
Πάτερ ἅγιε, ἀμπλακημάτων
τῶν πολλῶν μου τε παραπτωμάτων
καὶ τοῦ πλήθους τῶν πλημμελημάτων,
ὧν ἐγὼ ἐκ πολλῆς ῥαθυμίας
ἔπραξα καὶ πολλῆς ἀφροσύνης.
Ἔμπλησον Σὺ κἀμὲ τῶν ἐνθέων
ἀρετῶν πρὸς χρηστοήθειάν μου
καὶ πρὸς ταύτην διαμόρφωσόν με.
Σὺ ἰσχύι ἐνδυνάμωσόν με
ἐν τοῖς ἔργοις ἀγαθοπραγεῖν με,
Πάτερ ἕνεκεν τοῦ Παναγίου
καὶ προσκυνητοῦ ὀνόματός Σου,
ὥστε με καὶ ἐπιστηρίζεσθαι
καὶ ἐμμένειν τῷ θεληματί σου.

Ἀμήν.

ΚΕΦΑΛΑΙΟΝ ΙΔ'

Ὅτι ἡ ψυχὴ πεποιθέναι ὀφείλει ἐπὶ Ἰησοῦ Χριστῷ τῷ Κυρίῳ καὶ ἐπὶ τοῖς παθήμασιν αὐτοῦ.

Ἀπογνοίην ἂν τῆς σωτηρίας τῆς ἐμῆς ὁ Θεὸς ὁ Σω-
[τήρ μου
διὰ τὰς παμπληθεῖς πλημμελείας ὑπεραρίθμους τε
[ἀνομίας,
ἐὰν μὴ ὁ Υἱός Σου καὶ λόγος σὰρξ ἐγένετο ἐνανθρω-
καὶ ἡμῖν ἐνεσκήνωσε μένων. [πήσας
Νῦν δ' οὐκέτι τολμῶ ἀπογνῶναι ὡς ἐχθροὶ γὰρ τὸ
[πρότερον ὄντες
κατηλλάγημέν σοι τῷ θανάτῳ τοῦ Υἱοῦ Σου, Θεὲ καὶ
[Θεοῦ μου
πόσῳ μᾶλλον δὲ καταλλαγέντες δι' αὐτοῦ σωθησό-
[μεθα πάντες;
Πᾶσα νῦν τοιγαροῦν ἡ ἐλπίς μου καὶ ἡ ὅλη ἐμὴ βε-
[βαιότης
τῆς τελείας πεποιθήσεώς μου ἐν τῷ αἵματι τῷ ἐκχυθέντι
τῷ ἐκείνου ὑπὲρ σωτηρίας τῆς ἡμῶν, Πάτερ ἅγιε,
[κεῖται.
Ἐν αὐτῷ ἐγὼ ζῶν ἀναπνέω, ἐπ' αὐτῷ τε ἐπεστηριγ-
[μένος
ἀφικέσθαι δὴ ἐφίεμαί Σοι· οὐκ ἰδίαν ἐγὼ κεκτημένος
ἐμαυτοῦ τινα δικαιοσύνην· ἀλλὰ τὴν τοῦ Υἱοῦ Σου
τοῦ ἐμοῦ Ἰησοῦ τοῦ Σωτῆρος. [καὶ Λόγου
Διὰ τοῦτο σοὶ χάριτας πάντες οἱ κληθέντες Σοὶ ὁμο-
[λογοῦμεν

τῷ Θεῷ τῷ φιλανθρωποτάτῳ πανοικτίρμονι ἀγα·
[θωτάτῳ
τῷ διὰ τοῦ Υἱοῦ Σου καὶ Λόγου τοῦ Κυρίου ἡμῶν
[καὶ Σωτῆρος
μηδὲν ὄντας ἡμᾶς ἐξ ὄντων τὴν ἀρχὴν ὑποστήσαντι
[μόνῳ
ἔπειτα δὲ ἐξαπολωλότας ὀλισθήματος ἐξ ἁμαρτίας
θαυμαστῶς ἡμᾶς λυτρωσαμένῳ καὶ ζωὴν αὖθις δω·
[ρησαμένῳ.

—

Τῷ ἐλέει δὴ εὐχαριστῶ Σου καὶ πολὺν Σοι τὸν αἶ-
[νον προσάγω
ἀπὸ μέσης ψυχῆς καὶ καρδίας, ὅτι κατὰ τὴν ἀγάπη-
[σίν σου
τὴν ἡμῖν ἀνερμήνευτον οὖσαν, καθ' ἣν οὕτως ἡμᾶς
[ἀγαπήσας
οἰκτειρῆσαι ἠξίωσας Πάτερ, καὶ Υἱὸν δὲ τὸν μονο-
[γενῆ Σου
εἰς κοινὴν τὴν ἡμῶν σωτηρίαν ἀποστεῖλαι ηὐδόκησας,
τὸν Υἱὸν Πατρικῶν Σου ἐκ κόλπων, [Πάτερ,
ἵν' ἡμᾶς ὡς πατὴρ διασώσης τοὺς υἱοὺς τῆς δεινῆς
[ἀπωλείας.
Ἐκ καρδίας νῦν εὐχαριστῶ Σοι ὑπὲρ τοῦ Υἱοῦ Σου
[καὶ Λόγου
τοῦ δὴ ἐνανθρωπήσαντος χάριν τῆς μητρὸς αὐτοῦ
[τῆς Παναγίας
ἐξ ἧς ἔλαβε σάρκα φορέσαι καὶ ηὐδόκησεν ἄνθρω-
[πον σῶσαι,

ἵνα, ὥσπερ Θεὸς ἐκ Θεοῦ ἦν, οὕτως ἄνθρωπος ᾖ
[ἐξ ἀνθρώπου.
Ὁ Θεός μου νῦν εὐχαριστῶ Σοι ὑπέρ τε τῶν αὐτοῦ
[παθημάτων
τοῦ σταυροῦ καὶ ὑπὲρ τοῦ θανάτου καὶ ὑπὲρ τῆς
[αὐτοῦ τριημέρου
ἐκ νεκρῶν ἀναστάσεως αὖθις καὶ τῆς εἰς Οὐρανὸν
[μετὰ δόξης
ἀναλήψεως τοῦ Ἰησοῦ μου καὶ τῆς ἐκ δεξιῶν Σου
τῆς ἀπείρου Σου μεγαλωσύνης. [καθέδρας
Μετὰ γὰρ τεσσορακονθ' ἡμέρας τῆς αὐτοῦ ἀναστάσεως
[ὤφθη,
τῶν αὐτοῦ μηθητῶν θεωρούντων, ἀνερχόμενος ὑπὸ
[νεφέλης
ὑπεράνω τῶν Οὐρανῶν πάντων, καὶ ἐν τοῖς δεξιοῖς
[Σου καθίσας,
ὡς ὑπέσχετο τοῖς Ἀποστόλοις τὸ πανάγιον Πνεῦμα
[ἐκχέει
ἐπ' αὐτοὺς τοὺς υἱοθετηθέντας δι' αὐτοῦ Σοι τῷ
[θείῳ πατρί μου.

—

Ὁ Θεός μου οὖν εὐχαριστῶ Σοι τῇ ἐκχύσει τῇ ἁγιω-
[τάτῃ
τοῦ τιμίου δὴ αἵματος τούτου, δι' οὗ ἐξηγοράσθημεν
[πάντες,
ἅμα δὲ καὶ ἐπὶ τῷ ἁγίῳ φρικτῷ ζωοποιῷ Μυστηρίῳ
τοῦ ἀχράντου καὶ σώματος τούτου δι' οὗ πάντες ἡ-
[μεῖς καθ' ἑκάστην

ἐκτρεφόμεθ᾽ ἐν τῇ Ἐκκλησίᾳ ποτιζόμεθα λουόμεθά τε
ἁγιαζόμεθά τε μεγάλως, καὶ θεότητος τῆς θεαρχίου
μέτοχοι καθιστάμεθ᾽ ἀρρήτως.
Ὁ Θεός μου νῦν εὐχαριστῶ Σοι ὑπὲρ τοῦ Σου ἀ-
[φάτου ἐλέους
ᾧ ἠγάπησας τοὺς ἀναξίους καὶ διέσωσας διὰ τοῦ
[Υἱοῦ Σου.
ὁ Θεός μου τοῦ μονογενοῦς Σου θείου Λόγου τοῦ
[ἀγαπητοῦ Σου
Οὕτω γὰρ Σὺ ἠγάπησας Κόσμον, ὥστε δοῦναι τὸν
[Μονογενῆ Σου,
ἵνα πᾶς εἰς αὐτὸν ὁ πιστεύων μὴ ἀπόληται ἐξ ἁμαρ-
ἀλλὰ ἔχῃ ζωὴν αἰωνίαν. [τίας,
Αὕτη δ᾽ ἐστί ζωὴ αἰωνία, ἵνα Σε ἐπιγνώσονται μόνον
τὸν Θεὸν τὸν ἀληθινὸν μόνον καὶ Χριστὸν Ἰησοῦν
ὃν ἀπέστειλας σῶσαι τὸν κόσμον. [τὸν Υἱόν Σου
ἐπιγνώτωσαν ὀρθῇ τῇ πίστει οἱ Θεὸν δὲ ὀρθῶς ἐπι-
[γνόντες
τὴν ἐπίγνωσιν δὲ ἐν τοῖς ἔργοις τοῖς προσήκουσι
[ταύτῃ δειξάσθων.

ΚΕΦΑΛΑΙΟΝ ΙΕ΄

Περὶ τῆς τοῦ προαιωνίου Πατρὸς ἀπείρου πρὸς τοὺς ἀνθρώπους ἀγαθότητος.

Ὢ τῆς ἀπείρου πρὸς ἡμᾶς Θεέ μου ἀγαθότητος!
Ὢ τῆς ἀγάπης τῆς πολλῆς τῆς ἀνεικάστου, Κύριε,

τὸν Σὸν Υἱὸν παρέδωκας, ἵνα τὸν δοῦλον ἀγαθὲ
[ἐλευθερώσῃς τῶν δεσμῶν.
Θεὸς ἄνθρωπος γίνεται ἵνα ῥυσθῇ ὁ ἄνθρωπος τῆς
[δυναστείας τοῦ ἐχθροῦ.
Ὅση τις καὶ τοῦ Σοῦ Υἱοῦ χρηστότης Κύριε Θεέ,
ὃς οὐκ ἠρκέσθη καταβὰς ἐλέους σπλάγχνων ἕνεκεν
ἐνανθρωπῆσ᾽ ἐκ τῆς ἁγνῆς παρθένου Θεομήτορος,
ἀλλὰ σταυρὸν καὶ θάνατον καθυπομεῖναι ὑπὲρ ἡμῶν
καὶ σωτηρίας τῆς ἡμῶν τὸ αἷμα τὸ πανάγιον ἐκχύσ᾽
[ὑπὲρ ἁμαρτωλῶν.
Ἦλθεν ὁ εὔσπλαγχνος Θεὸς κατὰ τὸ ἔλεος αὐτοῦ
καὶ κατὰ τὸ παμμέγιστον πλῆθος τῶν οἰκτιρμῶν
τῆς ἀγαθότητος αὐτοῦ τοῦ σῶσαι τὸ ἀπολωλός. [αὐτοῦ
Ἐλθὼν δὲ ἐπεζήτησε καὶ εὗρε τὸ ἀποπλανηθὲν,
ἐπὶ τῶν ὤμων ἄρας δὲ ὁ ὑπερεύσπλαγχνος Θεὸς,
οἷα ποιμὴν ἀληθινὸς ἐπὶ τὴν ποίμνην ἤγαγεν.
Ὢ τῆς ἀγάπης τῆς πολλῆς! ὢ τοῦ ἐλέους τοῦ Θεοῦ!
τίς οὐκ ἂν ἐκπλαγείη ποτ᾽ ἐνωτισθεὶς τοιαῦτα δή.
Τίς οὔποτε θαυμάσειε, οὐ συνεπιχαρείη Σοι
ἐπὶ τῇ ἀγαπήσει Σου καὶ ταύτης τῇ ὑπερβολῇ
καθ᾽ ἣν ἡμᾶς ἠγάπησας τοσοῦτον ὁ φιλάνθρωπος;
Σὺ τὸν Υἱόν σου καὶ Θεὸν ἐν ὁμοιώματι σαρκὸς
ὡς ἀγαθὸς ἀπέστειλας, ἵνα ἐν τῇ σαρκὶ αὐτοῦ
τὸν ῥύπον τῶν ἁμαρτιῶν ἐκπλύνῃ κατακρίνῃ τε,
ἵνα ἡμεῖς γενώμεθα δικαιοσύνη ἐν αὐτῷ.
Αὐτὸς γὰρ ἐστιν ὁ ἀμνὸς Σοῦ τοῦ Θεοῦ ὁ ἄμωμος
ὁ ἄρας ὡς φιλεύσπλαγχνος τὴν ἁμαρτίαν τοῦ Ἀδάμ,
ὁ τῷ θανάτῳ ἑαυτοῦ θανάτου κέντρον καθελὼν

καὶ εἰς ζωὴν αἰώνιον πάντας ἡμᾶς ἀναγαγὼν
διὰ τῆς ἀναστάσεως.
Ἀλλὰ τί ποτ᾽ ἄρ᾽ ἂν ἡμεῖς Θεὲ Σοὶ προσενέγκοιμεν
ὑπὲρ τῶν εὐεργεσιῶν τῶν τῆς φιλανθρωπίας Σου
τῶν τόσων τηλικούτων τε; ἢ τίνας ἀποδοίημεν ἂν
[τὰς εὐχαριστίας Σοι;
Καὶ εἰ προσείη ἡ δύναμις ἡμῖν καὶ ἡ περίνοια
ἡ περιοῦσα Κύριε τοῖς νοεροῖς Ἀγγέλοις Σου,
οὐδὲν ἂν ἔχοιμεν ἡμεῖς ἀνταποδοῦναι ἄξιον
πρὸς τὴν τοσαύτην πρὸς ἡμᾶς ἀγαθωσύνην ἄφραστον
καὶ ἄφατον χρηστότητα.
Καὶ εἰ τραπείη ἅπαντα τὰ μέλη τὰ τοῦ σώματος
εἰς στόματα ἐνάριθμα, οὐκ ἂν ἐξεπαρκέσειαν
ἡμῖν πρὸς ἀνταπόδοσιν ὕμνων ἀξιοχρέων Σοι.
Τοσοῦτον τὸ βραχὺ ἡμῶν.
Καὶ γὰρ ἀνεκδιήγητος ἔστ᾽ ἡ φιλανθρωπία Σου
καὶ ὑπερβαίνει ἅπασαν, φιλάνθρωπε, διάνοιαν,
ἣν ἐπιδείξω πρὸς ἡμᾶς τοὺς ἀναξίους δούλους Σου
ἐξ ἄκρας ἱλαρότητος καὶ τῆς ἐπιεικείας Σου.
Ὁ γὰρ Υἱός Σου, Κύριε, ὁ πλάστης καὶ Θεὸς ἡμῶν
οὔκουν Ἀγγέλων νοερῶν τὸ σῶμα προσελάβετο,
ἀλλ᾽ Ἀβραὰμ τοῦ σπέρματος τὸ σῶμα ἐπελάβετο
τὰ πάνθ᾽ ἡμῖν ὁμοιωθεὶς τῆς ἁμαρτίας πλὴν ἐκτός.
Καὶ δὴ τὴν φύσιν τὴν ἡμῶν τὴν ἀνθρωπίνην εἰληφώς,
οὐ φύσιν τὴν Ἀγγελικήν, καὶ ταύτην δόξῃ καὶ τιμῇ
κατακοσμήσας ὡς Θεὸς καὶ τῇ ἀθανασίᾳ δὲ διὰ τῆς
[ἀναστάσεως,
αὐτὴν ὑπὲρ τοὺς Οὐρανοὺς θεώσας ὑπερύψωσεν,

καὶ ὑπὲρ ἅπαντας αὐτοὺς ἀΰλων τάξεων χοροὺς
ἄνω ὑπὲρ τὰ Χερουβὶμ ὑπὲρ αὐτὰ τὰ Σεραφεὶμ
ἐν θρόνῳ Σου ἐν δεξιοῖς Σοῦ καθιδρύσας ἔστησε.
Ταύτην αἰνοῦσιν Ἄγγελοι Ἀρχαὶ καὶ Κυριότητες
καὶ προσκυνοῦσιν ἅπασαι Δυνάμεις ὑπερκόσμιοι
καὶ καθορῶσαι τρέμουσιν ὁρῶσαι τὸν θεάνθρωπον
[ὑπὲρ αὐτὰς καθήμενον

—

Αὕτη ἄρ᾽ οὖν ἡ πᾶσά μου ἐλπίς τε καὶ πεποίθησις,
ἐν γὰρ Χριστῷ τῷ Ἰησοῦ, Κυρίῳ τῷ Θεῷ ἡμῶν,
ἐστὶν ἡμῶν τῶν γηγενῶν ἑκάστου μέρος τῆς σαρκὸς
ὡς καὶ τοῦ οἵματος Αὐτοῦ.
Καὶ ἔνθα ἄρα ἡ μερὶς συμβασιλεύει ἡ ἐμή,
ἐκεῖσε δήπου πέποιθα κἀμὲ συμβασιλεύοντα.
Ἔνθα γὰρ σῶμα τὸ ἐμὸν θεοπρεπῶς δοξάζεται
ἐκεῖ συνδοξαζόμενον ἐπιγινώσκω ἐμαυτόν.
Ἔνθα τὸ αἷμα τὸ ἐμὸν δεσπόζ᾽, ἐγὼ ὑπείληφα
συνδεσποτεύειν με ἐκεῖ.
Καὶ εἰ δέ τοι ἑαλωκὼς ἐν ἁμαρτίαις πέφυκα
οὐ μὴν ὑπενδοιάζω πως ἐπί γε τῇ συμμετοχῇ
τοιᾶσδε θείας χάριτος.
Κἂν γὰρ ἡ ἁμαρτία μου ἀπείργῃ με τῆς χάριτος.
ἀλλ᾽ ἡ οὐσία ἡ ἐμὴ ταύτην αὐτὴ ἐναπαιτεῖ.
Καὶ ἂν τὰ παραπτώματα μὲ ἀποκλείωσιν αὐτῆς,
ἀλλὰ ἡ κοινωνία γε τῆς ἀνθρωπίνης φύσεως
αὕτη οὐκ ἀποκρούει με.
Οὐ γὰρ ὁ Κύριός ἐστί μοι οὕτως ἀνεπιεικής,
ὥστε ἐπιλανθάνεσθαι τῆς ἀνθρωπίνης φύσεως

καὶ μὴ μεμνῆσθαι μηδαμῶς, ὃν φέρει ἄνθρωπον αὐ-
ὅνπερ αὐτὸς ὑπὲρ ἐμοῦ θελήσας προσελάβετο [τὸς
δν χάριν μου ἀναζητεῖ.

—

Ἀλλ' αὖθις τε ἐπιεικὴς καὶ ἵλεως εἰς ἄκρον ὢν
ὁ εὔσπλαγχος Θεὸς ἡμῶν φιλεῖ τὴν σάρκα τὴν αὐτοῦ
ὡς καὶ τὰ μέλη τὰ αὐτοῦ ὡς καὶ τὰ σπλάγχνα τὰ
[αὐτοῦ.
Οὐκοῦν ἐν τῷ Θεῷ ἡμῶν αὐτῷ τῷ Ἰησοῦ Χριστῷ,
τῷ γλυκυτάτῳ Ἰησοῦ προσηνεστάτῳ δὲ ἡμῖν
καὶ πανοικτίρμονι Θεῷ ἐν ᾧ ἡμεῖς ἀνέστημεν
εἰς Οὐρανοὺς θ' ὑψώθημεν καὶ ἐν τοῖς Οὐρανίοις δὲ
ἤδη συνεδριάζομεν, ἡ ἡμετέρα σὰρξ ἡμᾶς
ἐστὶν ἡ στέργουσα ἡμᾶς καὶ ἀγαπῶσα ὡς αὐτήν.
Καὶ εὐμοιροῦμεν δὲ αὐτοὶ τοιούτου δικαιώματος
ἐκ τοῦ ἐνόντος ἐν αὐτῷ αἵματος ἐκ τοῦ ἑαυτῶν.
Ὅτι αὐτοῦ ἡμεῖς ἐσμεν μέλος καὶ σῶμα τοῦ αὐτοῦ,
αὐτὸς δὲ κεφαλὴ ἡμῶν ἐξ ἧς τὸ σῶμα ἤρτηται·
γέγραπται γὰρ ἐν τῇ γραφῇ· ὀστοῦν ἐκ τῶν ὀστέων μου
καὶ σὰρξ ἐκ τῆς ἐμῆς σαρκός· καὶ ἔσονται ἀμφότεροι
εἰς σάρκα μίαν. Καὶ οὐδεὶς οὐδέποτε ἐμίσησεν
τὴν σάρκα γε τὴν ἑαυτοῦ, ἀλλ' ἀγαπᾷ αὐτὸς αὐτὴν
περιποιεῖται τρέφει τε.
Μέγα ἐστὶ παναληθῶς τοῦτό γε τὸ Μυστήριον,
λέγω δ' ἐγὼ ἐν τῷ Χριστῷ καὶ Ἐκκλησίᾳ τῇ Αὐτοῦ,
καθάπερ ὁ Ἀπόστολος αὐτὸς εἰπὼν συνέγραψεν.

—

ΚΕΦΑΛΑΙΟΝ ΙϚ'

Περὶ τῆς διττῆς τοῦ Χριστοῦ φύσεως τῆς τε ἐλεούσης ἡμᾶς καὶ τῆς ὑπὲρ ἡμῶν πρεσβευούσης.

Τοιγαροῦν καὶ χείλεσί μου καὶ καρδίᾳ Σε δοξάζω
καὶ ἐν ὅλῃ τῇ ἰσχύι τῷ ἀπείρῳ Σου ἐλέει, Κύριε,
[παντελεῆμον,
τὴν εὐχαριστίαν πᾶσαν εὐγνωμόνως Σοι προσάγω
ὑπὲρ πάντων τῶν ἀπείρων πανοικτίρμων οἰκτιρ-
[μῶν Σου,
δι' ὧν ἐπιβοηθῆσαι ἡμῖν τοῖς ἀπολωλόσι κατηξίωσας
[οἰκτίρμον,
ἐν τῷ Σῷ Υἱῷ καὶ Λόγῳ ἡμετέρῳ λυτρωτῇ δὲ
τῷ διὰ τῆς ὑμετέρας ἁμαρτίας ὑπελθόντι
θάνατον πρὸς σωτηρίαν πάντων τῶν ἀπολωλότων,
πρὸς δικαίωσιν δὲ αὖθις ἐκ νεκρῶν ἐξαναστάντι,
νῦν δ' ἀτελευτήτως ζῶντι δεξιοῖς Σου καθημένῳ
καὶ ὑπὲρ ἡμῶν ἀπαύστως μεσιτεύοντι Σοι Πάτερ
καί γε κατοικτίροντί Σοι τοὺς δεινῶς παραπεσόντας.
Ἀληθῶς αὐτὸς ὑπάρχει ἐκ θεοῦ πατρὸς ἀνάρχου
ἄναρχος θεὸς καὶ λόγος ὁμοούσιός Σοι Πάτερ
καὶ δυνάμενος λυτροῦσθαι ἐς ἀεὶ ἡμῶν τὸ γένος,
ἀλλὰ ἄνθρωπός τέ ἐστι πᾶσαν ἐξουσίαν ἔχων
ἔν τε τοῖς ἐπουρανίοις καὶ τοῖς ἐπιγείοις ἅμα
παρὰ Σοῦ παρειληφώς δέ.

῞Ινα ἐπὶ τῷ ὀνόματι τοῦ Ἰησοῦ πᾶν γόνυ
κάμπτῃ τῶν ἐπουρανίων ἅμα τε τῶν ἐπιγείων,
ἐξομολογήσηται δὲ πᾶσα γλῶσσα τῷ Κυρίῳ,
ὅτι ἔστιν εἰς Σὴν δόξαν Ἰησοῦς ὁ Κύριός μου
τοῦ Θεοῦ πατρὸς τῶν ὅλων τοῦ δεσπόζοντος τῶν πάντων.
Οὗτος καὶ κριτὴς ὑπάρχει τῶν νεκρῶν τε καὶ τῶν
[ζώντων
ἐπεὶ Σὺ οὐδένα κρίνεις. Τῷ Υἱῷ γὰρ πᾶσαν κρίσιν
[δέδωκας τοῦ κρῖναι κόσμον
ἐν ᾧ πάντες τῆς σοφίας καὶ τῆς γνώσεως ἁπάσης θη-
[σαυρὸς ἀπόκειταί τε.

—

Αὐτός τε μάρτυς καὶ κριτής, κριτὴς αὐτὸς καὶ μάρ-
ὃν οὐκ ἰσχύι συνειδὸς διαφυγεῖν ὁλοτελῶς [τυς
τῷ ῥύπῳ συνεχόμενον τῆς ἁμαρτίας, Κύριε,
τὰ πάντα γάρ ἐστι γυμνὰ καὶ τετραχηλισμένα δὲ
ἐνώπιον τῶν ὀφθαλμῶν τῆς θείας γνώσεως αὐτοῦ.
Αὐτὸς οὖν ὁ κατακριθεὶς ἀδίκως ὑπὸ τῶν κριτῶν,
αὐτὸς κρινεῖ εὐθύτητι τὴν Οἰκουμένην ἅπασαν,
δικαιοσύνῃ δὲ λαούς.
Ἐγὼ τοίνυν ἐπευλογῶ τὸ ὄνομά Σου τὸ ἅγιον
Εἰς τὸν αἰῶνα, Κύριε.
Ἐξ ὅλης τῆς καρδίας μου δοξάζω Σε, εὐλογητὲ
Δέσποτα πολυέλεε, ὑπὲρ δὴ τῆς ὑπερφυοῦς
ὅλως ἀνερμηνεύτου τε συγκοινωνίας τοῦ Θεοῦ
[μετὰ τῆς ἀνθρωπότητος
ἐν τῷ προσώπῳ τῷ αὐτῷ, ἥτις ᾠκονομήθη δὲ
[οὕτως ἐν πᾶσι θαυμαστῶς,

ὥστε μὴ εἶναι ἕτερον αὐτὸν τὸν ἄϋλον Θεὸν καὶ
[ἕτερον τὸν ἄνθρωπον,
ἀλλ' ἕνα τε καὶ τὸν αὐτὸν Θεὸν ὁμοῦ καὶ ἄνθρωπον,
[ἄνθρωπον ἅμα καὶ Θεόν.
Εἰ γὰρ κατὰ τὴν θαυμαστὴν τὴν ξένην καὶ παράδοξον
τοῦ λόγου συγκατάβασιν
ὁ Λόγος σὰρξ ἐγένετο, ἀλλ' οὐ τροπὴν ὑπέμεινεν,
οὐδὲ φυρμὸν τῶν φύσεων, οὐδὲ ἀλλοίωσίν τινα,
ἀλλ' ἑκατέρα τὰ αὐτῆς φυλάττει ἰδιώματα
[σῷα καὶ ἀναλλοίωτα,
οὐδ' ἐν τῷ μυστηρίῳ δὲ Τριάδος τῆς Ὑπαρκτικῆς
[τέταρτόν ἐστι πρόσωπον,
συνήνωται τοῦ Λόγου γὰρ ἡ θεία φύσις ὥσπερ ἦν
[τῇ τοῦ ἀνθρώπου μυστικῶς,
ἀλλὰ οὐ καὶ συμπέφυρται,
ὥστε τὸ πρόσλημμα αὐτοῦ τὸ προσληφθέν, τὸ ἐξ ἡμῶν,
ἱκέσθαι εἶναι καὶ Θεόν· καὶ ὅπερ ἦν ὅτε οὐκ ἦν,
τοῦτο αὐτὸ τῷ ἐσαεὶ ὄντι τῷ λόγῳ τοῦ Θεοῦ
μένον συγκαθυφίστασθαι.
῏Ω Μυστηρίου θαυμαστοῦ! ὢ συναλλάγματος καινοῦ,
[ὅλως ἀνερμηνεύτου δέ!
ὢ ξένης παραδόξου τε ἀπείρου ἀγαθότητος
τοῦ θείου δὴ ἐξιλασμοῦ ὑπερβαινούσης ἅπαντα
[εἰς τὸν αἰῶνα ἵμερον!
Δοῦλοι ἦμεν ἀνάξιοι ἀλλ' ἤδη ἀνεδείχθημεν
[Υἱοὶ Κυρίου τοῦ Θεοῦ
καὶ κληρονόμοι μὲν θεοῦ συγκληρονόμοι δὲ Χριστοῦ.
πόθεν ἡμῖν τὸ ἀγαθὸν τοῦτο νῦν προσεγένετο;

καὶ τίς εἰς τόδε νῦν ἡμᾶς οὕτω δὴ προηγάγετο;
ἀλλ' ἱκετεύω Σε ἐγὼ τὸν πανοικτίρμονα Θεὸν
πρὸς ταύτης τῆς ἀγάπης σου τῆς ἀνεξιχνιάστου τε
καὶ τῆς ἀγαθωσύνης σου καὶ τῆς ἐπιεικείας Σου
ἀξίους ἡμᾶς ποίησον γενέσθαι τῶν μεγάλων σου
πολλῶν τε ἐπαγγελιῶν, ὧνπερ αὐτὸς ὁ Σὸς Υἱὸς
Κύριος Ἰησοῦς Χριστὸς ἡμῖν προεπηγγείλατο.
Ἔντειλαι τῇ δυνάμει Σου καὶ ἤδη προσεμπέδωσον
[ὃ ἐξειργάσω πρὸς ἡμᾶς·
ὃ δὴ κατήρξω ὁ Θεὸς Σὺ ὁ αὐτὸς ἐκτέλεσον,
ὡς ἂν τῆς πληρεστάτης δὴ χάριτος τοῦ ἐλέους σου
[ἱκέσθ' ἀξιωθείημεν.
Σὺ φώτισον ἡμᾶς Θεὲ διὰ τοῦ θείου Πνεύματος
τοῦ συνιέναι ἅπαντα ἀξίους ἐποφθῆναι τε
[τῶν θείων ἐπαγγελιῶν,
ἄγειν ἡμᾶς τε ἐσαεὶ δι' εὐλαβείας καὶ τιμῆς
τὸ μέγα τῆς Σῆς χάριτος θεῖον Θεὲ Μυστήριον.
ὁ γὰρ Θεὸς καὶ Κύριος ἐφανερώθη ἐν σαρκὶ
ἐδικαιώθ' ἐν πνεύματι ὤφθη Ἀγγέλοις ἄνθρωπος
καὶ ἐκηρύχθη ἔθνεσι, τῷ κόσμῳ ἐπιστεύθη δὲ
ἐν δόξῃ ἀνελήφθη τε.

ΚΕΦΑΛΑΙΟΝ ΙΖ'

Ὅσην τῷ Θεῷ χάριν ὁ ἄνθρωπος ἔχειν ὀφείλει ὑπὲρ ἧς παρ' αὐτοῦ ἀπολυτρώσεως τυχεῖν ἠξίωται.

Ὅσην ὀφείλομεν ἡμεῖς χάριν σοι καθομολογεῖν,
Κύριε ὁ Θεὸς ἡμῶν, οἱ τηλικούτῳ ὑπὸ Σοῦ

τιμήματι, φιλάνθρωπε, τυχόντες τῆς ἐξαγορᾶς!
οἱ τῇ τοσῇδε δωρεᾷ διασωθέντες τῶν δεινῶν
ἐπιχορηγηθέντες δὲ τοίῳ εὐεργετήματι,
οὕτως, βαβαί! ὑπερφυεῖ·
ὢ πόσον οἱ ἐλεεινοὶ φοβεῖσθαί Σε ὀφείλομεν,
ἀλλὰ καὶ πόσον ἀγαπᾶν, πόσον αἰνεῖν καὶ εὐλογεῖν,
τιμᾶν, δοξάζειν καὶ ὑμνεῖν τὸν οὕτως ἀγαπήσαντα,
τὸν οὕτως διασώσαντα, τὸν οὕτως ἁγιάσαντα,
τὸν οὕτως ἀνυψώσαντα·
Πᾶν γὰρ ὅ,τι δυνάμεθα, τοῦτο προῆλθεν παρὰ Σοῦ
πᾶν ὅ,τι ζῶμεν, οἴδαμεν, ζωὴ καὶ γνῶσις παρὰ Σοῦ.
Ἀλλὰ τί γὰρ ἂν ἔχοι τις ὅ,τι μὴ Σοῦ ἐστι, Θεέ;
Σὺ γὰρ ὑπάρχεις, ἅγιε, Θεὸς ἡμῶν καὶ Κύριος,
ἐξ οὗ καὶ πρόεισιν ἀεὶ τὰ πάντα ἀγαθὰ ἡμῖν.
Σοῦ τοίνυν ἕνεκεν, Θεέ, καὶ τοῦ ὀνόματός Σου
τοῦ παναγίου, ἐκ τῶν Σῶν μετάδος ἡμῖν ἀγαθῶν,
ἵν' ἐκ τῶν Σῶν ἡμῶν πολλῶν χορηγουμένων ἀγαθῶν
δουλεύωμέν Σοι ἐν χαρᾷ, εὐχαριστοῦμέν σοι ἀεὶ
ἐν ἀληθείᾳ, Κύριε· καὶ τὰς ὀφειλομένας Σοι
εὐχαριστίας καθαρὰς δοξολογίας τε θερμὰς
ἀποδιδῶμέν Σοι φαιδροὶ τὴν καθ' ἑκάστην εὐλαβῶς,
τὰς ὑπὲρ τῶν εὐποιϊῶν τῶν καθεκάστην δαψιλῶς
παρὰ τῆς Σῆς χρηστότητος χορηγουμένων, Κύριε.

Οὐ γὰρ Σοι ἄλλοθέν ποθεν δυνάμεθα δουλεύειν σοι,
οὐδ' ὅλως τε εὐαρεστεῖν εἰ μὴ δωρήσαιο ἡμῖν.
Πᾶν τέλειον γὰρ δώρημα ἐξ οὐρανοῦ κατέρχεται
ἐκ Σοῦ τῶν φώτων τοῦ Πατρός· παρ' ᾧ οὔτις παραλλαγὴ

ἢ ὑποσκίασμα τροπῆς ἐστιν, ἀίδιε Θεέ.
Κύριε ὁ Θεὸς ἡμῶν, Θεὸς ἐλέους οἰκτιρμῶν,
Θεὸς εἶ Σὺ πανάγαθος, Θεὸς Σὺ πέλεις ἰσχυρὸς,
Θεὸς ἀνεξιχνίαστος, τῇ φύσει ἀπερίγραπτος.
Θεὸς Σὺ εἶ ὁ κηδεμὼν, κοσμήτωρ τῶν ἁπάντων εἶ,
ὁ τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ πατὴρ ὁ ἀγαθὸς,
ὁ τοῦτον τὸν ἀγαπητὸν Υἱόν Σου τὸν γλυκύτατον
ἐξαποστείλας Κύριον εἰς εὐποιΐαν τὴν κοινὴν
ἐκ κόλπων Σου τῶν πατρικῶν ἀναλαβέσθαι ὡς βροτὸν
τὸν βίον τὸν ἀνθρώπειον, ἵνα τὴν κατ᾽ αὐτὸν ζωὴν
ἀνθρώποις προμνηστεύσηται,
καὶ ὢν ἐξ ἑαυτοῦ θεὸς τέλειος ἐκ θεοῦ πατρὸς
γένηται ἄνθρωπος αὐτὸς τέλειος ἀπὸ τῆς μητρός.
Ὅλος θεὸς ὢν τέλειος καὶ ἄνθρωπος ὢν τέλειος.
Εἷς τε καὶ μόνος ὁ αὐτὸς αἰώνιος καὶ χρονικὸς,
ἀθάνατός τε καὶ θνητός, κτίστης καὶ κτίσμα ἐν ταὐτῷ
πανίσχυρος καὶ ἀσθενής, ὢν νικητὴς καὶ ἡττηθεὶς,
τροφεὺς ὑπάρχων καὶ τραφεὶς, ποιμὴν καὶ πρόβατον
[αὐτὸς,
ἐν χρόνῳ νεκρωθεὶς ἐν γῇ, σὺν Σοὶ δὲ ζῶν ἐν Οὐρανοῖς,
τοῖς δ᾽ ἀγαπήσασιν αὐτὸν συνεῖναι μετ᾽ αὐτοῦ ἀεὶ
καὶ τὸ συμπολιτεύεσθαι δωρήσεσθ᾽ ἐπηγγείλατο,
καθάπερ πρὸς τοὺς μαθητὰς τοὺς ἑαυτοῦ ἐλάλησεν
εἰπών, ὅ ἂν ζητήσητε παρὰ Θεοῦ πατρὸς ὑμεῖς
ἐν τῷ ἐμῷ ὀνόματι, δώσει ὑμῖν τὸ αἴτημα.

—

Πρὸς αὐτοῦ δή, ὁ Θεός μου, τοῦ μεγάλου Ἱερέως
καὶ ἀληθινοῦ τοιούτου Κύριε Ἀρχιερέως,

παναγάθου τε ποιμένος, τοῦ αὐτὸν προσενεγκόντος
ἱλαστήριον θυσίαν καὶ ὑπὲρ τῆς αὐτοῦ ποίμνης
τὴν ψυχὴν αὐτοῦ θεμένου, Πάτερ Σε καθικετεύω,
πρὸς αὐτοῦ τοῦ καθημένου ἐν τοῖς δεξιοῖς τοῦ θρόνου
καὶ ὑπὲρ ἡμῶν ἀπαύστως μεσιτεύοντός Σοι Πάτερ,
πρὸς αὐτοῦ τοῦ ἡμετέρου λυτρωτοῦ καὶ συνηγόρου
σὴν αἰτοῦμαι εὐσπλαγχνίαν καὶ τὴν ἐπιείκειάν Σου,
πολυέλεε Θεέ μου ὑπεράγαθε οἰκτίρμον
καὶ φιλανθρωπότατέ γε.
Δός μοι ἐν πηγαῖς δακρύων καὶ ἐν φόβῳ καὶ ἐν τρόμῳ
καὶ ἐν καθαρᾷ καρδίᾳ εὐλογεῖν Σε καὶ δοξάζειν
σὺν αὐτῷ τε τῷ Υἱῷ Σου καὶ τῷ Πνεύματι τῷ θείῳ,
ὧν γὰρ ἡ οὐσία μία καὶ τὸ χορηγούμενον ἓν
παρ᾽ αὐτῶν ταὐτόν τί ἐστιν.

—

Ἀλλ᾽ ἐπειδὴ τὸ ἐν ἐμοὶ σῶμα τὸ ὑποκείμενον
τῇ ἀλλοιώσει καὶ φθορᾷ οἷόν τι ἄχθος ἐστὶ μοι
προσεπιβρῖθον τῇ ψυχῇ, διέγειρον μου, δέομαι,
τὴν ἀπονάρκωσιν αὐτοῦ σοῖς κέντροις καὶ με ποίησον
τοῖς σοῖς ἐνδιαμένειν με ἐντάλμασιν ἀκλόνητον
καὶ Σὲ ἀπαύστως εὐλογεῖν ἔν τε ἡμέρᾳ καὶ νυκτί.
Δός μοι διαθερμαίνεσθαι καὶ τὴν καρδίαν τὴν ἐμὴν
καὶ πῦρ αὐτῇ ἐκκαίεσθαι ἐν τῇ μελέτῃ μου Θεέ.
Ἐπεὶ δὲ ὁ Μονογενὴς Υἱός σου ἔφη πρὸς ἡμᾶς,
Οὐδεὶς ἐμοὶ προσέρχεται, ἂν μὴ ὁ πέμψας με Πατὴρ
αὐτὸν ἑλκύσῃ πρὸς ἐμέ, οὐδὲ πρὸς τὸν πατέρα μου
προσέρχεταί τις πώποτε ἂν μὴ, προσέλθῃ δι᾽ ἐμοῦ·
ἀντιβολῶ Σε λιπαρῶς καὶ ἱκετεύω σε θερμῶς

ἕλξαις με Πάτερ ἄναρχε πρὸς τὸν ἀγαπητὸν Υἱόν,
ἵνα αὐτὸς ὡς τέως με πρὸς Σέ Θεὲ προσάγηται,
ὅπου ἐστιν ἐν δεξιοῖς, ὅπου αἰώνιος ζωὴ
ἐν τῇ μακαριότητι τῇ αἰωνίᾳ τῇ ἐν Σοί,
ὅπου ἀγάπη ἐντελὴς καὶ φόβος ἐν αὐτῇ οὐδείς,
ἔνθ' ἐπαυγάζει ἐς ἀεὶ ἡμέρα ἡ ἀνέσπερος
καὶ πνεῦμά ἐστιν ἐν αὐτῇ ἡ παντελὴς ἀσφάλεια
καὶ ἡ γαλήνη ἀσφαλής, τερπνότης δὲ ἀκύμαντος,
εὐδαιμονία πάντερπνος, ἀιδιότης εὐμαρής,
καὶ ἡ μακαριότης δὲ διατελεῖ ἀίδιος,
και μακαρία πέρατος παντὸς ἐπέκεινά ἐστιν
ἡ Σὴ Θεέ μου ὅρασις και ἡ ἀνάμνησις ἡ Σή.
Ὅπου κυρεῖς Σὺ ἐν αὐτῷ, αὐτὸς ἐστιν σὺν σοί ἀεὶ
μετὰ τοῦ συμφυοῦς ὑμῖν ὁμοουσίου Πνεύματος,
Θεὸς εἷς ζῶν παμβασιλεὺς εἰς τοὺς αἰῶνας ἅπαντας.
[Ἀμήν.

ΚΕΦΑΛΑΙΟΝ ΙΗ'

Δέησις πρὸς Ἰησοῦν Χριστὸν θερμοτάτη.

Σὺ εἶ Χριστέ, ὁ Θεός μου ἡ γλυκυτάτη ἀγάπη,
Σὺ εἶ ὁδὸς ἡ ζωή μου, τὸ φῶς μου, ἡ σωτηρία,
ἡ καλλονὴ τῶν σῶν πᾶσα καὶ ἡ εὐπρέπεια Σῶτερ,
ὑπὲρ ὧν πάνθ' ὑποστῆναι ηὐδόκησας Ἰησοῦ μου.

—

Ἠθέλησας δεσμευθῆναι καὶ ἐπὶ ξύλου ταθῆναι
καὶ λόγχῃ ἐκκεντεθῆναι ἀποθανεῖν καὶ ταφῆναι,

καὶ πύλας ᾅδου συντρίψαι τριήμερον ἀναστῆναι
καὶ μαθητῶν τὰς καρδίας στηρίξαι καὶ ὀπτανθῆναι.

—

Καὶ τεσσαράκονθ' ἡμέρας μετὰ τὴν ἀνάστασίν σου
εἰς Οὐρανοὺς ἀνελήφθης καὶ ζῶν ἐκεῖ βασιλεύεις
Εἰς τοὺς αἰῶνας αἰώνων, καὶ τὸ παράκλητον Πνεῦμα
τῇ ἑορτῇ τῇ μεγάλῃ τοῖς Μαθηταῖς ἀποστέλλεις.

—

Σὺ εἶ Χριστὲ ὁ Θεὸς ὁ ζῶν, ὁ ἐν ἀληθείᾳ,
Σύ εἶ πατήρ μου ὁ θεῖος, ὁ Κύριος ὁ οἰκτίρμων,
ὁ Βασιλεύς μου ὁ μέγας καὶ ὁ καλὸς ὁ ποιμήν μου,
διδάσκαλος μου ὁ μόνος, ὁ κραταιὸς βοηθός μου.

—

Σὺ Ἰησοῦ εἶ μου ἔρως, ὁ κάλλεσιν ἀπαστράπτων,
ὁ ἄρτος ὁ τῆς ζωῆς μου, ἀίδιος ἀρχιθύτης,
ὁ ἄριστος ὁδηγήτωρ πρὸς τὴν πατρίδα τὴν ἄνω,
τὸ φῶς τὸ τῆς ἀληθείας καὶ ἡ ἁγία γλυκύτης.

—

Σὺ εἶ ὁδὸς ἡ εὐθεῖα, ὑπέρφωτός μου σοφία,
καθαρωτάτη ἁπλότης, ὁμόνοια εἰρηναία,
Σὺ ἀσφαλὴς εἶ φρουρά μου, ἀγαθωτάτη μερίς μου,
ἀίδιος σωτηρία, τὸ ἔλεός τε τὸ μέγα.

—

Σὺ εἶ ἡ ὑπομονή μου, ἰσχὺς ρωμαλεωτάτη
καὶ τὸ ὁλοκαυτωμά μου, τὸ ὑπεράμωμον Λόγε,
ἐξαγορά μου ἁγία, ἡ στερροτάτη ἐλπίς μου,
χαρίτωσις ἡ τελεία, ἡ μόνη ἀνέγερσίς μου.

—

Σὺ ἄληκτος εἶ ζωή μου καὶ τὸ ἀγαλλίαμά μου,
ἐντρύφημα εὐφροσύνης, ἡ ἐποπτεία ἡ θεία
καὶ ἡ μακαριωτάτη ἡ διαρκέσουσα τέλους
παντὸς ἐπέκεινα, μόνη ἀπόλαυσις ἡ τελεία.

—

Ἀντιβολῶ Σε, Χριστέ μου, ἐκλιπαρῶ, ἱκετεύω,
ὃς εἶ ὁδὸς καὶ ζωή μου, τὸ φάος τῆς ἀληθείας,
ἵνα διὰ σοῦ βαδίζων πρός Σὲ ἀφίξωμαι Λόγε,
ἧς ἄνευ πρὸς τὸν πατέρα οὐδείς ποτε ἀφικνεῖται.

—

Σοῦ γὰρ τοῦ ὑπερηδίστου Δεσπότου ὑπερκαλλίστου
ἐφίεται ἡ ψυχή μου ἀπαύγασμα θείας δόξης.

—

Ὁ ἐπιβλέπων ἀβύσσους, καθήμενος ἐπὶ θρόνου
τῶν Χερουβίμ, Ἰησοῦ μου, τὸ φῶς τὸ τῆς ἀληθείας,
τὸ φῶς τὸ ὑπερφωτίζον, τὸ φῶς τὸ μή ποτ᾽ ἐκλεῖπον
εἰς ὃ καὶ ἐπιθυμοῦσιν οἱ ἄγγελοι παρακύψαι.

—

Ἰδοὺ Χριστὲ ἡ καρδιά μού ἐστιν ἐνώπιόν σου·
Σὺ σκέδασον, δυσωπῶ Σε, τὸ σκότος τὸ περιβάλλον,
ὡς δαψιλέστερον Σῶτερ ἂν ἐπικαταυγασθείη
διὰ τῆς ἐπιποθείας τῆς θείας ἐλλάμψεώς Σου.

—

Δός μοι σαυτόν ὁ Θεός μου, αὐτὸς σαυτόν μοι ἀπό-
Ἰδοὺ ἐγώ ἀγαπῶ Σε καὶ εἰ βραχύ ἐστι τοῦτο [δος!
πλειότερον Σ᾽ ἀγαπήσω.
Οὐκ ἔχω μέτρον τοῦ γνῶναι ὅσον ἐνδεῖ μοι, Χριστέ μου,
τῆς προσηκούσης ἀγάπης, ὥστε ἐφ᾽ ὅσον ἀπόχρη

μοὶ ἐφικέσθαι πρὸς ταύτην.
Ὥστε δραμεῖν με ταχέως καὶ Σὲ με περιβαλέσθαι
τὸ φῶς μου ἀνεπιστρόφως καὶ ἕως οὗ ἐν κρυφῇ μοι
καλύπτεταί μου τῆς θέας, Χριστέ μου, τὸ πρόσωπόν σου.
Ἀλλ᾽ ἔμπης τοῦτ᾽ ἐγὼ οἶδα, ὅτι πᾶν τὸ παρεκτός σου
μοὶ εἰς κακὸν ἀποβαίνει, οὐ μόνον τὸ ἔξωθέν μου,
ἀλλὰ καὶ πᾶν τὸ ἐντός μου.
Πᾶσα γὰρ περιουσία, ἣ ἂν μὴ ᾖ ὁ Θεός μου,
ἔνδειά ἐστί μοι αὕτη.
Τὸ ἀγαθὸν γὰρ τὸ μόνον τὸ μὴ δυνάμενον ὅλως
ἐπὶ τὸ ἄμεινον εἴκειν καὶ εἰς τὸ χεῖρον τραπῆναι
Σὺ μόνος εἶ ὁ Θεός μου.
Σὺ εἶ ὁ μόνος ἁπλῶς ὤν, ᾧ οὔ τε ἕτερόν ἐστι
τὸ ζῆν τοῦ ζῆν μακαρίως.
Ἡ γὰρ σὴ μακαριότης αὐτὸς Σὺ πέλεις, Θεέ μου.
Τὸ δὲ σὸν κτίσμα οὐχ οὕτως, ᾧ ἕτερόν τὸ βιῶναι
καὶ ἕτερον μακαρίως τὸν βίον διαβιῶναι,
ὃ οὐκ ὀφείλει διδόναι ἄλλῳ εἰ μὴ τῇ πλουσίᾳ
Σοῦ χάριτι Ἰησοῦ μου τῇ δαψιλῶς δεδομένῃ.
Τούτου γε ἕνεκεν πάντες Σοῦ χρῄζομεν Ἰησοῦ μου,
αὐτὸς δὲ ἥκιστα χρῄζεις ἡμῶν τῶν Σῶν ποιημάτων.
Καὶ γὰρ τῶν Σῶν ποιημάτων κἂν μηδαμῶς ὑφεστώ-
οὐδενὸς ἐνδεὴς ἔσῃ ἀγαθοῦ τῶν ἀγαθῶν σου, [των,
ὅτι Σὺ τὸ ἀγαθὸν εἶ.

Σοὶ τοίνυν προσκολλᾶσθαι δεῖ ἡμᾶς ἀείποτε, Θεέ,
ὡς τῇ ἀδιαλείπτῳ Σου συναντιλήψει καὶ ἡμεῖς
Ἰσχύσωμεν ὀρθῶς βιοῦν ἤτοι ἁγνῶς καὶ εὐσεβῶς.
Τῇ γὰρ βαρύτητι ἡμεῖς τῆς ἀσθενείας ἑαυτῶν

ἐπὶ τὰ κάτω ἑλκόμεθα, τῇ παρὰ Σοῦ δὲ χάριτι
ἐνδιαθερμαινόμεθα, καὶ προσανωφερεῖς ἀεὶ
καὶ κοῦφοι καθιστάμεθα, πυρούμεθ', ἀναγόμεθα,
καὶ ἀναβαίνοντες ἀεὶ ἀναβαθμίδα τῇ ψυχῇ
ἡμῶν διατιθέμεθα, καὶ τὴν ᾠδὴν προσᾴδομεν
τῶν ἱερῶν ἀναβαθμῶν, καὶ τῷ καλῷ σου τῷ πυρὶ
ἐμπυρπολούμεθα ἡμεῖς καὶ πρόσω βαίνομεν ἀεί.

Ἀλλὰ ποῦ ἄρα βαίνομεν ; ἐπὶ Εἰρήνην βαίνομεν
τῆς ἄνω Ἱερουσαλήμ· εὐφράνθην γὰρ τοῖς χείλεσι
ἐπὶ τοῖς εἰρηκόσι μοι εἰς οἶκον πορευσόμεθα
Κυρίου τοῦ Θεοῦ ἡμῶν.
Ἐκεῖ ἡ εὐδοκία γὰρ τοὺς πόδας ἡμῶν ἵστησιν,
ὡς μὴ ἐθέλειν ἕτερον ἡμᾶς μηδὲν τῶν ἐπὶ γῆς
ἢ ἐν αὐτῇ αὐλίζεσθαι εἰς τὸν αἰῶνα, ὁ Θεός.
Ἐπεὶ γὰρ ξενιτεύομεν ἀπὸ τῆς Σῆς χρηστότητος,
ἐφ' ὅσον ἐν τῷ σώματι τῷδε, ὃ φέρομεν, ἐσμέν,
ὧδε οὐκ ἔχομεν ἡμεῖς πόλιν τὴν διαμένουσαν,
ἀλλὰ ἀεὶ τὴν μέλλουσαν ἐπιζητοῦμεν Δέσποτα·
τὸ δὲ πολίτευμα ἡμῶν ἐν Οὐρανοῖς ἐστιν αὐτό.
Ἔνθεν τοι τῆς σῆς χάριτος τῆς ἄνω ὁδηγούσης με
εἰς τὸ ταμεῖον εἴσειμι, Κύριε, τῆς καρδίας μου
καὶ Σοὶ προσᾴδ' ἐρωτικά, ὁ βασιλεύς μου ὁ Θεός,
ἐν ἀλαλήτοις στεναγμοῖς ἐπολολύζων συνεχῶς
ἐν τῇ τῆς παροικίας μου τῇδε τῇ χώρᾳ Ἰησοῦ,
ἔνθα τὰ δικαιώματά σού μοι ψαλτὰ ἐγένετο.
τῆς τοίνυν Ἱερουσαλὴμ μνησθεὶς νῦν τὴν καρδίαν μου

ἐκχέω ὅλην ἐπ' αὐτήν. Ἐπὶ τὴν Ἱερουσαλὴμ
τὴν ποθεινὴν πατρίδα μου, Μητέρα μου δὲ τὴν Σιών,
καὶ ἐπὶ Σὲ τὸν ἐν αὐτῇ Σε βασιλεύοντα, Θεέ,
τὸν ἐκλαμπρύνοντα αὐτήν, τὸν ἀγαθὸν πατέρα μου,
προστάτην μου τε καὶ φρουρόν, ποιμένα καὶ εὐθύν-
[τορα,
τὰς ἐντρυφήσεις τὰς ἁγνὰς τὰς ἐν αὐτῇ καὶ ἰσχυράς,
τὸ ὅλως ἀμετάτρεπτον στερρόν μου ἀγαλλίαμα
καὶ ἑνὶ λόγῳ ἅπαντα ὁμοῦ τὰ θεῖα ἀγαθὰ
τὰ ὄντα μοι ἀνέκφραστα, ἐν οἷς δὲ τὸ ὑπέρτατον
αὐτὸς εἶ τὸ ἀκρότατον καὶ ἀληθὲς αὐτάγαθον.
Καὶ οὐκ ἀποστραφήσομαι, ἕως ἐπισυνάξῃς με
ἐν τῇ Εἰρήνῃ τῆς Μητρὸς αὐτῆς τῆς πόλεως Σιών,
τῆς ὡς περιποθήτου μοι, ἔνθα εἰσὶν αἱ ἀπαρχαὶ
τοῦ πνεύματός μου, Κύριε, καὶ τὸ ἐκ τῆς διασπορᾶς
καὶ ἀκοσμίας μου τῆς νῦν, ὅσον ἐγένετ' ἐν ἐμοί,
Σὺ περιέλῃς ἀπ' ἐμοῦ, καὶ ἐπαναμορφώσῃς με
καί γε καταστηρίξῃς με εἰς τὸν αἰῶνα ὁ Θεός,
τὸ ἔλεός μου! γένοιτο.

ΚΕΦΑΛΑΙΟΝ ΙΘ'

Διαστολὴ τῆς σοφίας, ἡ ὁ τοῦ Θεοῦ οἶκός ἐστιν, καὶ τῆς σοφίας, ἥτις αὐτή ἐστιν ἡ θεαρχικὴ σοφία.

Αὐτός ἐστιν ὁ Οἶκός σου, Ὦ Κύριε μου καὶ Θεέ,
οὐμενοῦν οἶκος γεηρός, οὐδὲ ἀπὸ σωματικοῦ

ὄγκου τινὸς δεδόμηται, οὐδὲ ἐξ Οὐρανίου του
συνέστηκε τὸ δόμημα, ἀλλ' οἶκός τις πνευματικὸς
καὶ τῆς ἀϊδιότητος τοῦ θείου ἐστὶ μέτοχος·
ἐνδιαμένων γάρ ἐστιν ἄνευ κηλῖδος ἐς ἀεὶ
Σὺ γὰρ αὐτὸν ἐποίησας εἰς τὸν αἰῶνα ἔστησας,
πρόσταγμα ἔθου, Κύριε, καὶ οὐ μὴ παρελεύσεται·
ἀϊδιάζει γὰρ αὐτὸς τῷ ἀϊδίῳ Σοὶ Θεῷ,
εἰ καὶ οὐχὶ ἄνευ ἀρχῆς συνέστηκεν, ἀλλ' ἐν ἀρχῇ·
('Επεὶ προπάντων ἔκτισται αἰώνων ἡ σοφία Σοι)
οὐχ αὕτη πάντως δέ ἐστιν
ἡ ἄναρχος ἡ τοῦ Θεοῦ· ἡ γὰρ σοφία τοῦ Θεοῦ
ἡ τῷ Πατρὶ συνάναρχος
ὁμοφυὴς καὶ σύνθρονος ὑπάρχει ἡ τὰ σύμπαντα
λόγῳ δημιουργήσασα,
ἐν ᾗ περ οὔσῃ ἐν ἀρχῇ ἐγένετο ὁ Οὐρανὸς
ἡ γῆ τεκαὶ τὰ ἐν αὐτῇ.
Σοφία δ' ἔμπης ἐστὶ καὶ ἡ περὶ ἧς ὁ Λόγος νῦν,
ἡ φύσεως πνευματικῆς λαχοῦσα καὶ ἀύλου δέ,
ἡ φῶς αὐτὴ τυγχάνουσα διὰ τῆς θέας τοῦ φωτός·
καὐτὴ σοφία λέγεται (καίτοι γε πέλουσα κτιστὴ)
ἀλλ' ὅσον τὸ φωτίζων φῶς ἀπέχει ἀπὸ τοῦ φωτὸς
τοῦ δεχομένου φωτισμόν, τοσοῦτον καὶ ἡ κτίζουσα
σοφία τῆς τοῦ κτίσματος σοφίας διαφέστηκεν.
Τὸ διαφέρον δηλαδὴ τῆς πανσοφίας τοῦ Θεοῦ
ἀπὸ τῆς τοῦ ποιήματος τόσον ἐστὶ διάφορον,
ὅσον ἐστὶ διάφορος δικαιοσύνη ἡ τοῦ Θεοῦ,
ὅς ἐστιν ὁ Θεός αὐτός, ἀπὸ δικαιοσύνης δή,
ἥτις δικαίωσις ἡμῖν διὰ Χριστοῦ ἐγένετο.

Καὶ γὰρ δὴ καὶ ἡμεῖς αὐτοὶ δικαιοσύνη τοῦ Θεοῦ
τοῦ Σοῦ πατρὸς ἐκλήθημεν ἐν Σοί γε τῷ Υἱῷ αὐτοῦ
τῷ λυτρωτῇ Θεῷ ἡμῶν ὡς μαρτυρεῖ ὁ 'Απόστολος

—

'Επειδὴ τοίνυν σοφία ἔστιν ἥτις προεκτίσθη .
πρὸ τῶν ἄλλων ποιημάτων λογικὴ καὶ νοερά γε,
ἔστι δημιουργηθεῖσα ἡ τῆς σῆς ἀσπίλου αὔτη
πόλεως τῆς ὑπεράγνου, τῆς Μητρὸς τῆς παμφιλτάτης,
τῆς ἐπάνω καθεστώσης, τῆς ἐν τοῖς ἐπουρανίοις,
καὶ τῆς διαιωνιζούσης ἐν τοῖς Οὐρανοῖς ἐκείνοις,
ἐν οἷς Σε ἀεὶ αἰνοῦσιν Οὐρανοὶ τῶν Οὐρανίων·
Αὐτὸς γάρ ἐστιν ὁ Οἶκος τῷ Κυρίῳ τῶν ἁπάντων
ὁ ὑπὲρ τῶν Οὐρανῶν ὤν.
Καίτοι οὐχ εὑρίσκομεν δὲ πρὸ τῆς κτίσεως ἐκείνης
χρόνον ἢ ἀρχὴν τοῦ χρόνου, ὡς πρὸ χρόνων γενομένης,
ὡς προτέρας τῶν κτισμάτων
πάντων δημιουργηθείσης, ἀλλὰ Σὺ αὐτὸς ὑπάρχεις
πρὸ τῆς πόλεως ἐκείνης ὁ Θεὸς ὁ πρὸ αἰώνων.
ὁ δημιουργὸς τῶν πάντων, ὑφ' οὗ ἡ ἀϊδιότης
τῆς δε τῆς δημιουργίας ὡς ἀκόλουθος παρήχθη,
τὴν ἀρχὴν αὐτῆς λαβούσης καθ' ἣν ἐδημιουργήθη
εἰ καὶ μὴ ἀρχὴν ἐν χρόνῳ· (οὔπω γὰρ ἦν ἔτι χρόνος)·
καὶ τοιαύτην εἰληφυίας, ταύτην τὴν ἀρχὴν μὴ χρόνῳ,
ὥστε οὕτω κεχωρίσθαι κατ' αὐτὴν ἀπὸ τοῦ πλάστου,
Σοῦ τοῦ παντουργοῦ τοῦ Θείου, ὅτι ἕτερόν Σου πάντη
ἔστι αὕτη καθ' ὃ κτίσμα, κἂν πρὸ τῆς ἀρχῆς ἐκείνης
μηδ' ἐν τῇ ἀρχῇ ἐκείνῃ ἀνευρίσκωμεν τὸν χρόνον.
Καὶ ἐκείνη δὲ ἡ κτίσις οἷα τ' ἔστι κατοπτεύειν

ἐς ἀεὶ τὸ πρόσωπόν σου, οὐδαμῇ ἐκτρέπεται δὲ
ἀπ᾿ αὐτοῦ ἐκκλίνουσά πως.
διὸ τὸ παράπαν ὅλως οὐ παραλλαγῇ ποικίλλει.
Ἔνεστι καὶ ταύτῃ μέντοι δύναμις τοῦ ἐκτραπῆναι,
ὥστε δὲ καὶ σκοτισθῆναι καὶ ὑποψυγῆν᾿ ἂν εἶχεν,
ἐὰν μή σοι ἦν προσφῦσα ἐν ὑπερβολῇ ἀγάπης·
ὡς γὰρ ἐπὶ μεσημβρίας ἀκλινῶς ἀεὶ ἑστήκει
ὑπὸ Σοῦ αὐγαζομένη περιζέουσά τε ὅλη.

—

Αὕτη γὰρ οὕτως προσῆπται ἔρωτι Σοὶ ἁγνοτάτῳ
Θεῷ τῇ αὐταληθείᾳ ἀληθῶς δὲ αἰωνίῳ,
ὥστε, κἂν μή σοι τυγχάνοι αἰωνίζουσά σοι αὕτη,
μὴ διαδοχαῖς μηδέσι καὶ περιτροπαῖς τῶν χρόνων
ἀπολύεσθαί σου ὅλως, ἀπορρεῖν τε τὸ παράπαν,
ἀλλ᾿ ἀεὶ ἐπὶ τῆς θέας ἀναπαύεσθαι σοῦ μόνου
τῆς ἀληθεστάτης ὄντως.
Σὺ γὰρ ἡ θεία ἀγάπη ὁπόσον Σὺ ἐπιτάσσεις
τῷ ἀγαπῶντι ἀγάπην, τοσοῦτον καὶ ἐμφανίζεις
σαυτὸν αὐτῷ καὶ ἀρκεῖς Σύ.
Ὅθεν καὶ οὐκ ἀπονεύει, οὐδ᾿ ἀπὸ Σοῦ ἀποκλίνει,
οὐδὲ ἀφ᾿ ἑαυτοῦ ὅλως, ἀλλ᾿ ἕστηκεν ἀραρότως
ἐπὶ τῇ ἰδίᾳ στάσει, διηνεκῶς καθορῶν Σέ,
ἀδιαλείπτως ἐρῶν Σοῦ, τοῦ φάους τῆς ἀληθείας,
τοῦ ἔρωτος τοῦ ἁγίου.
Ὦ τῆς εὐδαιμονεστάτης καὶ ὑπερεξῃρημένης
κτίσεως τῆς τῶν κτισμάτων! λίαν ὄντως ὡς ὑπάρχει
αὕτη μακαριωτάτη ἡ ἀεὶ σῇ προσημμένη
μακαριότητι θείᾳ!

Ὡς τῷ ὄντι λίαν αὕτη ἐστὶν εὐδαιμονεστάτη
ἅτε ἔχουσά σε αὕτη ἐν αὑτῇ γε ἀιδίως
ἐνοικοῦντά σε καὶ ταύτην ἀγλαΐζοντα σῷ φάει.

—

Οὐδέν τι μᾶλλον εὑρίσκω ἐξεῖναι ὡς προσηκόντως
ἡγεῖσθαι ὀνομασθέντα τὸν Οὐρανὸν τῷ Κυρίῳ
τοῦ Οὐρανοῦ ἢ τὸν Οἶκον τὸν σὸν τῆς τερπνότητός
τὸν θεωροῦντα ἀπαύστως ἄνευ ἐκλείψεως πάσης [Σου
καὶ διαθέσεως ἄνευ τὴν θεωρίαν ἐπ᾿ ἄλλου
παρεξιέναι, οἷάπερ δὴ νοῦν τυγχάνοντα ὅλον
εἰλικρινῆ καθαρόν τε ἕνα ὁμόψυχον πάντα.
Τοιοῦτον τὸ τῆς εἰρήνης τῶν μακαρίων πνευμάτων
τὸ στήριγμα διαμένει.
Τὰ ἐπουράνια ταῦτά εἰσι τὰ ἐν Οὐρανίοις.
Κἀντεῦθεν οὖν συνιέτω καὶ ἡ ψυχὴ ἧς ἐνταῦθα
ἡ παροικί᾿ ἐμακρύνθη, ἐὰν τῷ δίψει Σου πᾶσα
κατάσχετος ἐντυγχάνῃ. ἐὰν αὐτῇ ἤδη ἄρτος
τὰ δάκρυα ἀποβῶσιν, ἐὰν τουτί γε καὶ μόνον
αἰτοῖ το, ἐπιποθείῃ τὸ κατοικεῖν ἐν τῷ Οἴκῳ
τῷ Σῷ ἁπάσας ἡμέρας ζωῆς αὐτῆς αἰωνίου.
Καὶ τὶς αὐτῆς ἡ ζωή δέ εἰμὴ ἐν σοὶ ὁ Θεός μου;
καὶ τίνες δὲ αἱ ἡμέραι εἰμὴ ἡ αἰωνιότης
ἡ Σὴ καὶ τὰ ἔτη Σοῦ γε, ἃ οὐκ ἐκλείψουσιν ὅλως;
Ἐντεῦθεν οὖν συνιέτω πᾶσα ψυχὴ συνιοῦσα,
ὅσῳ μακρὰν ὑπερ χρόνον Σὺ ὁ αἰώνιος πέλεις,
ὁπότε ὁ σός τε οἶκος, ὁ μὴ παρεπιδημήσας,
κἂν Σοὶ συνδιαιωνίζων καὶ ἂν μηδόλως ὑπάρχῃ,
ἀπαύστως μέντοι γε οὗτος ἀδιαλείπτως ὑπάρχει,

Σοὶ ὢν προκεκολλημένος, μεταβολὴν μηδεμίαν
μὴ ὑφιστάμενος χρόνου. ὡς ἐν ἀγνότητι πάσῃ
μονιμωτάτη ὑπάρχων καὶ ὡς οὐδὲν ἐξ ἰδίας
ἀλλοῖόν τι ἀπαρύων ἐκ προστροπῆς τινος ὅλως.
καὶ οὐδαμῇ καὶ οὐδέποτ' ἂν ἀπό Σου ἀποσταίη,
αὐτῷ παρόντος Σοῦ ὄντος, οὗπερ ἀντέχεται πόθῳ,
μηδέν τι ἔχων ἐκτός Σου ὃ προσδοκήσειεν ὅλως,
μηδ' ἐπιστρέφων ἐς αὖθις ἐπὶ τὰ τοῦ παρελθόντος,
οὗπερ ἂν ἐπιμνησθείη. Ἔχει γὰρ ἀνεπαμείπτως
πρός δὲ καὶ ἀδιαδόχως καὶ πρὸς οὐδένα τε χρόνον
ἐξαποτείνεται ὅλως·

ΚΕΦΑΛΑΙΟΝ Κ'

Ἐνταῦθα ὁ ἄνθρωπος δέεται, ἵνα καὶ ὁ τοῦ Θεοῦ οἶκος ὑπὲρ αὐτοῦ δέηται.

Ὦ οἶκος ὁ ὑπέρφωτος Θεοῦ περικαλλέστατος
ὅσον τὴν σὴν εὐπρέπειαν, οἶκε, ἐγὼ ἠγάπησα!
καὶ τόπον τοῦ σκηνώματος τῆς δόξης τοῦ Κυρίου μου,
τοῦ σὲ ἀεὶ δεσπόζοντος καὶ σὲ οἰκοδομήσαντος!
Ἐπιστενάζων εἴην σοι νυκτὸς καὶ μεθ' ἡμέραν δέ,
ὅτι ἀποδημῶν τελῶ καὶ ξενιτεύω ἀπὸ Σοῦ!
Εἴη διηνεκῶς ἐπιχαίνουσα ἡ καρδία μου!
Εἰς κοινωνίαν τῆς ἐν σοι θείας μακαριότητος
ἐπιποθείη ἡ ψυχή μου ἐφικέσθ' ἐπιθυμεῖν!
Πρὸς τὸν ποιήσαντά Σε, οἶκε, ἀνακράζω ἐκ ψυχῆς,

ἵνα ἐν σοί με κτήσηται αὐτὸς ὁ κτίσας καὶ ἐμέ·
Μᾶλλον δὲ κρᾶξον, σὺ αὐτοῦ δεήθητι ὑπερ ἐμοῦ,
ὅπως ἂν ἄξιον κἀμὲ τῆς ἐν σοὶ δόξης μετασχεῖν
ὁ κτίστης ἀπεργάσηται.
Τοῖς πολιτευομένοις γὰρ ἐν σοὶ ἁγίως, Οὐρανέ,
καὶ τοῖς ἐπαπολαύουσι τοῦ θαυμασίου κάλλους σου
ἀριθμηθῆναι βούλομαι.
Ἀλλ' οὐ διὰ τὴν ἐν ἐμοὶ εὐπρέπειαν αἰτοῦμαί σε
ἀλλὰ διὰ τὸ τίμιον αἷμα τὸ ἐκχυθὲν ἐμοὶ
ἐπὶ τῇ ὑπὸ τοῦ Χριστοῦ ἐξαγοράσει τῇ ἐμῇ·
διὸ καὶ τῆς αἰτήσεως ἧς εὔχομαι ἐπιτυχεῖν
οὔποτε ἀπογνώσομαι.
Ἡ χάρις μόνον ἡ ἐν σοὶ ἡ ἄκρως ἐπιπρέπουσα
τῷ τοῦ Θεοῦ σκηνώματι αὕτη εὐχέσθω σὺν ἐμοί,
καὶ ἐπιβοηθήτωσαν ἐμοῦ τῇ σκολιότητι
αἱ ἅγιαι καὶ καθαραὶ ἐντεύξεις σου πρὸς Κύριον,
ἃς οὐκ ἄν ποτε γένοιτο εἶν' ἀδρανεῖς πρὸς τὸν Θεόν.

Ἐπλανήθην τῆς εὐθείας, ἐξομολογοῦμαι ἤδη,
πρόβατον ἀπολωλὸς δὲ ἐκ τῆς ποίμνης ἐγενόμην
καὶ ἡ ἐπὶ γῆς ἀθλία παροικία ἐμακρύνθη,
ἀπεσκίρτησα δὲ πόρρω ἐκβληθεὶς ἀπὸ προσώπου
τοῦ Κυρίου καὶ Θεοῦ μου ἐν τῇ τῇδε σκοτομήνῃ,
τῇ τῆς ἐξορίας χώρᾳ, ἔνθα ἀπεληλαμένος
τῆς τρυφῆς τοῦ παραδείσου ὀλοφύρομαι ὁ τάλας
καθ' ἡμέραν ἐπὶ πάσαις ταῖς ἐκ τῆς αἰχμαλωσίας
ἀθλιότησιν παντοίαις ἐν ὀλολυγμοῖς καὶ θρήνοις,
ᾄσματι θλιβερωτάτῳ.

'Επειδὰν ἐπιμνησθῶ σου, 'Ιερουσαλὴμ ὦ Μῆτερ,
ἐν ᾧ ἵστανται οἱ πόδες οἱ ἐμοὶ ἐν ταῖς αὐλαῖς σου,
῏Ω ἁγία τοῦ Κυρίου Σιὼν πανευπρεπεστάτη,
ὅτι οὔπω ἠδυνήθην εἰς τὰ ἔνδον ἀτενίσαι
καὶ θεάσασθαι ἐγκύψας ἐμφανῶς τὰ ἐν σοὶ πάντα.
'Αλλ' ἀνενεχθήσεσθ' ἔμπης πέποιθα, Σιὼν ἁγία,
ἐπὶ ὤμων τοῦ σοῦ κτίστου καὶ ἐμοῦ καλοῦ ποιμένος,
ἵνα σὺν σοι ἐντρυφήσω ἐν τῇ ἀνεκδιηγήτῳ
τῇ ἐν σοὶ ἀγαλλιάσει, ἐν ᾗ τῶν εὐφραινομένων
πάντων ἐστι κατοικία, οἳ παρίστανται ἀπαύστως
κατενώπιον τοῦ θείου τοῦ Χριστοῦ τοῦ λυτρωτοῦ μου
μετὰ σοῦ πόλις ἁγία, τοῦ τὴν ἔχθραν λελυκότος
τῇ τοῦ σώματος θυσίᾳ, καὶ τοῦ αἵματος ἐκχύσει
καταλλάξαντος τὰ πάντα τὰ ἐν Οὐρανῷ καὶ γῇ τε.

Αὐτὸς γὰρ ἐστὶν εἰρήνη ὁ τὸ χειρόγραφον σχίσας
καὶ ἅπαντα καταλλάξας καὶ τἀμφότερ' ἓν ποιήσας,
ὁ ἰσομέτρως παρέξειν ἐπαγγειλάμενος πᾶσιν
τὴν διαμένουσαν πᾶσαν εὐδαιμονίαν τελείαν,
ἐν τῷ εἰπεῖν ὅτι πάντες ὡς ῎Αγγελοι τοῦ Κυρίου
ἐν Οὐρανοῖς ἔσονταί γε.
῏Ω πόλις Σιὼν ἁγία, ὁ οἶκος ὁ τοῦ Κυρίου,
μετὰ τὴν τοῦ 'Ιησοῦ μου ἀγάπησιν Σὺ γενοῦ μοι
παράκλησις χαρμονή μου!
'Η μνήμη σου ἡ γλυκεῖα τὴν τῆς ψυχῆς εὐθυμίαν
αὐτὴ ἀνακουφισάτω τὴν ἐπιπολάζουσάν τε
ἐμοὶ πολλὴν ἀχθηδόνα!

ΚΕΦΑΛΑΙΟΝ ΚΑ'

῞Οσῃ πικρίᾳ ὁ βίος οὗτος ἐστὶν ἀνάμικτος.

'Ως ἀχθεινὸς ὁ βίος μου οὗτος ἔστι μοι, Κύριε,
ταλαίπωρος τυγχάνει δὲ ἡ παροικία μου ἐν γῇ!
ὁ βίος μου ἐλεεινός, ὁ βίος μου ἐπίκηρος,
βίος ἐστὶν ἐπίμοχθος, ἀστάθμητος, ἀκάθαρτος,
ἐν ᾧ δεσπόζει τὰ κακά, ἀλαζονεία τυραννεῖ,
ἔμπλεος ἀθλιότητος, ἀπάτης, καὶ διαφθορᾶς.
ὃν οὐδὲ βίον, ὡς εἰκός, προσονομάζειν δεῖ αὐτόν,
μᾶλλον δὲ θάνατον αὐτὸν καλεῖσθαι πρεπωδέστερον.
ἡμέραν καθ' ἑκάστην γὰρ καθ' ἅπασαν χρόνου ῥοπὴν
ὥσπερ θνητοὶ ἐκθνήσκομεν ποικίλαις ἐν μεταβολαῖς
νεκρούμενοι παντοδαποῖς κηρῶν ποικίλλων εἴδεσιν.
Μὴ γάρ που τοῦθ', ὅπερ ἡμεῖς ἐν γῇ διαβιώσκομεν,
ζωὴν προαγορεύομεν; ζωὴν ἥν περ οἱ μὲν χυμοὶ
φερόμενοι οἰδαίνουσιν, αἱ δ' ἀλγηδόνες τάχιστα
λαβοῦσαι κατισχναίνουσιν, οἱ καῦσοι δ' ἐξαυαίνουσιν!
καὶ ἐκνοσίζει ὁ ἀήρ, τροφὴ δὲ αὖθις ἐξογκοῖ!
ἐκτήκει ἀσιτία δέ, ἡ δὲ τρυφὴ ἀποχαυνοῖ!
ἀνία δὲ ἐκδαπανᾷ, καὶ μέριμνα στενοχωρεῖ!
ἀμβλύνει ἡ ῥαστώνη δὲ καὶ φυσιοῖ ὁ πλοῦτος μέν,
ἡ δὲ πενία ταπεινοῖ! ἐπαίρει ἡ νεότης μέν,
ἀποκυρτοῖ τὸ γῆρας δέ! καὶ διαφθείρει νόσημα,
πιέζει ἀθυμία γε!
Καὶ ταῦτά γε μὴν τὰ δεινά. τὸ ἔσχατον δὲ ἐπιὼν

ὁ θάνατος μαινόμενος τὸν βίον διαδέχεται
καὶ πᾶσιν ἅμα τοῖς δεινοῖς τοῦ βίου τοῦ τοιοῦδε δὴ
τοῦ ταλαιπώρου ταύτῃ γε τὸ πέρας ἐπιτίθησιν,
ὥσθ᾽ οὕτως ἀπολήγοντα μηδέποτε ὑπάρξαι αὐτόν·
παράπαν μὴ νομίζεσθαι.
Ἀλλὰ γὰρ ὁ βιοτικὸς οὗτος ὑπάρχων θάνατος
καὶ βίος δὲ θανατικός, τῶν εἰρημένων καίτοι γε
πλειόνων τ᾽ ἄλλων πικριῶν ὅλος ἀνάπλεως τελεῖ,
ὅσους μέν, οἴμοι, οὑτοσὶ ἀγρεύει ἐπιθέλγων πως!
ὅσους ἐπαγγελίαις δὲ ψευδέσι, τοῖς πιστεύουσι,
ἐκφενακίζει γε αὐτοῦ.
Τοιοῦτος οὖν καθ᾽ ἑαυτὸν ἡμῶν ὁ βίος πεφυκώς,
οὕτως ψευδὴς κατάπικρος, ὥστε μηδὲ τῶν ἐραστῶν
τοῦ βίου τὸν τυφλώττοντα δύνασθαί πως διαλαθεῖν,
οὐδ᾽ ἀριθμόν ἐστιν εἰπεῖν ὅσους ποτ᾽ ἄφρονάς ἐστι
τῇ γοητείᾳ αὐτοῦ πλανῶν μεθύσκων τῷ ποτῷ αὐτοὺς
τοῦ ποτηρίου τοῦ χρυσοῦ, ὅπερ κατέχει ἐν χερσί!
Εὐδαίμονες ἡ τὴν αὐτοῦ οἰκείωσιν ἐκφεύγοντες
(οὗτοι δ᾽ εἰσὶν εὐάριθμοι) καὶ διαπτύοντες ἀεὶ
τὴν μετ᾽ αὐτοῦ συνήθειαν τῷ κατολιγωρεῖν αὐτοῦ
τῶν παροδίων τέρψεων, ἵνα μὴ σὺν αὐτῷ ποτε
τῷ συναπολουμένῳ γε ἀπατεῶνι καὶ αὐτοὶ
εἰς τέλος συναπόλωνται.

ΚΕΦΑΛΑΙΟΝ ΚΒ΄

Περὶ τῆς ζωῆς τῆς τρισευδαίμονος, ἣν ὁ Θεὸς ἡτοίμασε τοῖς ἀγαπῶσιν αὐτόν.

Ὢ ποία αὕτη ἡ ζωὴ ἣν ὁ Θεὸς ἡτοίμασε
τοῖς ἀγαπήσασιν αὐτόν! ὢ ἡ ζωὴ ἡ ζώσιμος
ἡ μακαρία ναὶ ζωή, ζωὴ ἡ μάλα ἀσφαλής,
ζωὴ δὲ ἡ γαλήνιος, ζωὴ ὡραία καθαρά,
ζωὴ ἁγνὴ ἁγία τε, ἡ ἀγνοοῦσα θάνατον,
ἡ λύπην οὐ γινώσκουσα, ζωὴ ἡ ἀκηλίδωτος,
ζωὴ ἡ ἄνευ ἄλγεων, ἡ ἄνευ ἀχθηδόνος τε,
ζωὴ ἡ ἄνευ προτροπῆς ἄνευ ταράχου οὐδενός,
ζωὴ ἡ ἀμετάβλητος ἄνευ ἐξαλλοιώσεως!
ζωὴ ἡ οὖσα ἔμπλεως ἁπάσης κοσμιότητος,
ἁπάσης εὐπρεπείας τε, ζωὴ ἐν ᾗ οὐδείς ἐστιν
ποτὲ ὁ ἐνιστάμενος οὐδὲ ὁ ἀντιβάλλων Σε.
ἐν ᾗ οὐκ ἔστι θέλγητρον εἰς ἁμαρτίαν ὁδηγοῦν.
Ἔνθα τελεία εὕρηται ἡ τοῦ Θεοῦ ἀγάπησις,
ἔνθεν ὁ φόβος ἔφυγεν, ἔνθ᾽ ἡ ἡμέρ᾽ ἀνέσπερος
ἡμέρα αἰωνία ἐστί. ἔνθα τὸ πνεῦμα πᾶσιν ἕν,
ἔνθα Θεὸς πρὸς πρόσωπον πρόσωπον κατοπτάνεται,
ἐν τῇ τοιᾷδε δὲ ζωῇ ὁ νοῦς κορέννυται τροφῆς
τῆς προσηκούσης ἐς ἀεί.
Ὡς ἀγαπητόν μοί ἐστιν ἡ ζωὴ ἡ μακαρία,
τὴν λαμπρότητα τὴν Σὴν δέ, Κύριε, ἐνατενίζειν,
ὡς τερπνότατά εἰσί μοι, Κύριε, τὰ ἀγαθά σου

τῷ αὐτῶν ἐφιεμένῳ ἐν ὑπερβολῇ θυμοῦ μου
ὅσῳ δὴ μᾶλλον ἰσχύω ἐμαυτὸν περινοῆσαι,
τόσῳ πλέον καὶ ἐκλείπω τῷ περί σε ἔρωτί μου.
καὶ σφοδρῷ πρὸς Σὲ τῷ πόθῳ, καὶ ἐνήδομαι ὡς λίαν
τῇ σῇ μοι παγγλυκυτάτῃ, Κύριε μου, ὑπομνήσει.

—

Ἀρέσκει τοίνυν μοι ἀεί, ἀρέσκει μοι τοὺς ὀφθαλμοὺς
αἴρειν τοὺς τῆς καρδίας μου πρός Σὲ τὸν ἅγιον Θεὸν
καὶ ἐπιτείνειν ἐπί Σε ἅπασαν τὴν ἐπίκλησιν,
Θεέ, τῆς διανοίας μου,
καὶ κατὰ Σὲ μορφοποιεῖν τὴν τῆς ψυχῆς διάθεσιν.
Ἡδύ μοί ἐστι τὸ λαλεῖν καὶ τὸ ἀκούειν περὶ Σοῦ
καὶ τὸ συγγράφειν περὶ Σοῦ, καὶ τὸ διαλογίζεσθαι,
ἀναγινώσκειν τε ἀεὶ περὶ τῆς δόξης τῆς ἐν Σοὶ
καὶ τῆς μακαριότητος, καὶ τὰ ἀναγνωσθέντα μοι
ἀναπεμπάζεσθαι ἀεί, ὡς οὕτω δυνηθείην ἂν
ἀπὸ τοῦ βίου τουτουῒ τοῦ ἐπικήρου, Κύριε,
τοῦ ἀποιχησομένου τε καὶ τῶν ἱδρώτων τῶν φλογμῶν
ἐπὶ τὴν ἐκ τῆς γλυκερᾶς καὶ τῆς ζειδώρου αὔρας Σου
μέθεξιν μεταναστῆναί τε. καὶ μεταστὰς τὴν κεφαλὴν
τὴν λίαν ἀπαυδήσασαν καὶ τὴν ἀπειρηκυῖάν μου
τοῖς κόλποις ἥδιστα τοῖς Σοῖς ἐπανακλῖναι κἂν σμικρόν,
ὅτε ὑπνώσω, Κύριε, καὶ κοιμηθήσομαι ἐν Σοί.

—

Τούτου δὴ χάριν τοὺς τερπνοὺς λειμῶνας διεξέρχομαι
τῶν θείων Ἱερῶν Γραφῶν, καὶ πόας ἀποδρέπομαι
τὰς χλοαζούσας ἐν αὐταῖς τῶν διδαγμάτων τῶν σεπτῶν.
ἀναλεγόμενος αὐτὰς ἐσθίω καὶ διηνεκῶς

τῇ διανοίᾳ ἀναπολῶ ἥδιστα μηρυκώμενος·
τὰς τέως συλλεγείσας δὲ ἐν βάθει ἀποτίθεμαι
τῆς μνήμης, ἵνα οὑτωσὶ τῆς Σῆς ἀπογευόμενος
γλυκύτητος ἡδύνωμαι καὶ πικροτήτων τῶν πολλῶν
τοῦ βίου μου τοῦ ἀχθεινοῦ ὡς ἧττον ἐπαισθάνωμαι.

—

Ὦ Σὺ ζωὴ τρισευδαίμων! Ὦ Βασιλεία ἁγία,
τῷ ὄντι ἡ μακαρία, θανάτου ἡ ἀμοιροῦσα,
μὴ πέρας προσδεχομένη! ἀφ᾽ ἧς γε ἄπεισιν ὅλως
διαδοχαὶ αἱ τῶν χρόνων καὶ τῶν καιρῶν ἀλλοιώσεις·
ἔνθ᾽ ἄληκτος ἡ ἡμέρα καὶ νὺξ οὐκ ἔτι ὑπάρχει,
οὐκ οἶδεν ὥρας ὁ χρόνος. ὅπου νικήσας εἰς τέλος
ὁ στρατευόμενος ἤδη καὶ κοινωνῶν τῶν ἁγίων
ἀγγέλων τοῖς ὑμνολόγοις χοροῖς ἀπαύστως προσᾴδει
Θεῷ τῷ ἁγιωτάτῳ τὸ ᾆσμα ἐκ τῶν ᾀσμάτων
τῆς πόλεως τοῦ Κυρίου, ἀμαραντίνῳ στεφάνῳ
τὴν κεφαλὴν ἐστεμμένος.

—

Ὤφελον, ἐπιδοθείσης συγγνώμης μοι τῶν πται-
[σμάτων
καὶ τοῦ σαρκίνου μοι τοῦδε σάγματος ἀποτεθέντος,
εἰσενεχθείην Θεέ μου εἰς τὴν ἐν σοὶ εὐφροσύνην
καὶ χαρμονὴν τὴν ἀγήρω τὴν ἐν τῇ Σῇ Βασιλείᾳ,
καὶ τῆς ἀναπαυσεώς Σου τῆς ἀληθοῦς γε τευξοίμην
καὶ τῶν τειχέων τῆς ἄνω πόλεως τῆς Σῆς ἐκλάμπρου
ἔνδον εἰσέλθοιμι χαίρων καὶ λάβω μετ᾽ εὐφροσύνης
τὸ στέφος τῆς ἀφθαρσίας παρὰ χειρὸς τοῦ Κυρίου,
ὥστε τοῖς ἁγιωτάτοις χοροῖς με συνοργιάζειν,

ὥστε μετὰ τῶν πνευμάτων με τῶν μακαριωτάτων
παρίστασθαι ἐν τῇ δόξῃ τοῦ Κτίστου μου καὶ Θεοῦ
[μου,
ὥστε αὐτὸ κατοπτεύειν τὸ πρόσωπον τοῦ Χριστοῦ μου,
ὥστε ἀεὶ καθορᾶν με τὸ ἀπερίγραπτον φάος
καὶ μηδεμίαν πτοεῖσθαι πτόησίν με τοῦ θανάτου,
ἀλλ᾽ ἐπευφραίνεσθαι πέρατος ἄνευ ἀμεταπτώτου
ἐπὶ τῇ δαψιλευθείσῃ ὑπὸ τοῦ παμβασιλέως
μοι δωρεᾷ τῇ μεγίστῃ.

ΚΕΦΑΛΑΙΟΝ ΚΓ'

Ὅση τις ἡ τῆς ψυχῆς εὐδαιμονία τῆς ἐκδημούσης ἐντεῦθεν ἐν Ὁσιότητι.

Εὐδαίμων ἐστὶν ἡ ψυχὴ ἥτις ἀπὸ τοῦ γεηροῦ
λυθεῖσα σκήνους τοῦ λοιποῦ ἔστ᾽ ἐλευθέρα σώματος !
Εἰς Οὐρανὸν γὰρ ἄνεισιν ἐν καταστάσει ἀσφαλεῖ
καὶ παντελῶς ἀκύμονι μὴ ὑποπτήσσουσά ποτε
ἢ θάνατον πολέμιον.
Ἔχει καὶ γὰρ διηνεκῶς παρόντα τὸν Θεὸν αὐτῆς,
Δεσπότην τὸν παμφίλτατον καὶ τὸν περικαλλέστατον
ὅνπερ θεᾶται ἐς ἀεί, ᾧπερ ἐδούλευσε πιστῶς,
ὅν τε ἠγάπησε πολύ, καὶ πρὸς αὐτὸν ἐπάνεισι
περίδοξος τε καὶ φαιδρά. τὴν τηλικαύτην δόξαν δὲ
τὴν τῆς μακαριότητος οὔτε ἡμέρα τίς ποτε

ὑπελαττῶσαι δύναται, οὐθ᾽ ὑφελέσθαι ποτ᾽ αὐτὴν
ἀλάστωρ κατισχύσει τις. Αἱ θυγατέρες τῆς Σιὼν
ὡς ταύτην ἑωράκασι καὶ μακαρίαν ἐν χορῷ
πᾶσαι καὶ ἀνεκήρυξαν.
»Βασίλισσαι καὶ παλλακαὶ ᾔνεσαν ταύτην λέγουσαι·
τίς αὕτη ἡ ἀναβαίνουσα ἐκ τῆς ἐρήμου πρὸς ἡμᾶς;
καὶ ἀναβαίνουσά ἐστιν λευκοῖς ἐν ἄνθεσι στολῇ
ἐπὶ τὸν ἀδελφὸν αὐτῆς ἐπιστηριζομέν᾽ ἐστίν ;
Τίς αὕτη ἡ ἐκκύπτουσα καθάπερ ὄρθρος φαεινὸς
καλὴ ὡς ἡ πανσέληνος, ὡς ἥλιος δὲ ἐκλεκτή,
ἡ θάμβος κόσμον ἔχουσα; Ὡς φαιδροτάτη πρόεισιν !
ὡς τρέχει ἐπακούουσα ἐξεστηκόσι τοῖς ὠσὶν
λέγοντος τοῦ ἀδελφιδοῦ. ἐλθέ, ἀνάστα ἡ καλὴ
περιστερὰ πλησίον μου. ἰδοὺ παρῆλθεν ὁ χειμών,
παρῆλθέ τε ὁ ὑετὸς καὶ ἐπορεύθη ἑαυτῷ·
τὰ ἄνθη ὤφθη ἐν τῇ γῇ, ἔφθασ᾽ ὁ χρόνος τῆς τομῆς·
φωνὴ ἠκούσθη εὔλαλος τρυγόνος ἐν τῇ γῇ ἡμῶν
καὶ ἡ συκῆ ἐξήνεγκεν ὀλύνθους τοὺς καρποὺς αὐτῆς·
αἱ ἄμπελοι κυπρίζουσιν, ἔδωκαν τὴν ὀσμὴν αὐτῶν.
᾽Ανάστ᾽ ἐλθὲ πλησίον μου, ὡραία μου περιστερά...
ἐν τῇ τῆς πέτρας σκέπῃ σου ἐν τῷ περιτειχίσματι
δεῖξον ἐμοὶ τὴν ὄψιν σου, ἀκούτισον τὴν σὴν φωνήν,
ὅτι ἡδεῖα ἡ φωνὴ ὡραία δὲ ἡ ὄψις σου
ἐλθὲ καλή μου ἐκλεκτὴ ὡραία μου περιστερὰ
ἡ νύμφη μου ἡ ἄμωμος ἐλθὲ καὶ θήσομαι ἐν σοὶ
τὸν θρόνον μου τὸν ὑψηλόν, ὅτι τοῦ κάλλους σου ἐγὼ
φιλήσας ἐπεθύμησα. ἔλθε ἵνα ἐνώπιον ἐμοῦ εὐφραίνῃ
[ἐς ἀεί,

ἐλθὲ ἵνα εὐφραίνησαι σὺν τοῖς Ἀγγέλοις, ὡς εἰπὼν
ἐπηγγειλάμην σοι ἐγὼ αὐτοῖς συνέσεσθαι ἀεί·
ἐλθὲ μεθ' οὓς ὑπέμεινας καμάτους ἐν τῷ βίῳ σου
κινδύνους τε πολυειδεῖς. Εἴσελθε ἤδη χαίρουσα
εἰς τὴν ἀίδιον χαράν, ψυχή, τὴν τοῦ Κυρίου Σου,
ἣν ἀπὸ σοῦ οὐ μή ποτε οὐδεὶς ἐξαφαιρήσεται.

ΚΕΦΑΛΑΙΟΝ ΚΔ'

Ἱκεσία πρὸς τοὺς ἁγίους, ἵνα ἐν κινδύνοις ἡμῶν ἀναστρεφομένων ἀντιλήπτορες γένωνται.

*Μακάριοι ὑμεῖς ἐστε οἱ πάντες ἅγιοι Θεοῦ,
οἱ τοῦτο τῆς θνητότητος πέλαγος τῆς ζωῆς ὑμῶν
καλῶς διαπεράσαντες καὶ τῷ λιμένι τῆς ζωῆς,
τῆς ἀιδίου χαρμονῆς, εἰρήνης τ' ἀναπαύσεως
καθορμισθῆναι ἀσφαλῶς ἀξιωθέντες, ἔνθα δὲ
διάγετ' εὐφραινόμενοι ἐνστηριχθέντες ἀκλινῶς
βεβαίως ὡς ἐν ἑορτῇ ἀλήκτῳ καὶ ἀτέρμονι.
Δέομαι δή, ἐν ἀσφαλεῖ ὄντας ὑμᾶς καθ' ἑαυτούς,
κατά τε τὴν ἀγάπησιν τὴν περιοῦσαν ἐν ὑμῖν
καὶ τῆς ἡμῶν ποιήσασθαι λόγον παναθλιότητος.
Δέομαι δ' αὖθις πρὸς αὐτοῦ τοῦ ἀγαπήσαντος ὑμᾶς
καὶ ἀναδείξαντος ὑμᾶς τοιούτους, οὗ τῆς καλλονῆς
κορέννυσθε νῦν ἅπαντες καὶ τῆς ἀθανασίας δὲ
συγκοινωνοὶ γεγόνατε, οὗ καὶ τῆς θέας ἐς ἀεὶ*

*ὑμεῖς ἐναπολαύετε, μνήσθητε δὴ ἐνδελεχῶς
τῶν δεομένων νῦν ἡμῶν. Συνάρασθε ὑμεῖς ἡμῖν
τοῖς κλυδωνιζομένοις νῦν ἐν τῷ τοῦ βίου κλύδωνι.
Καὶ αἱ εἰς ὕψος μέγα δέ αὖται αἱ ἐπαιρόμεναι
πύλαι αἱ ἐπουράνιοι καὶ δὴ περικαλλέσταται
συνεπαρήξατε ἡμῖν τοῖς ἐπὶ γῆς μακρὰν ὑμῶν
κατακειμένοις ἐν δεινοῖς.
Ὀρέξατε ὑμεῖς ἡμῖν χεῖρα συναντιλήψεως
καὶ ἀναστήσατε ἡμᾶς προσισταμένους τῆς οὐδοῦ,
ὡς ἰσχυροὶ γενώμεθα ἐν τῷ πολέμῳ τουτωΐ
ἐπιρρωσθέντες ὑφ' ὑμῶν. Πρεσβεύσατε καὶ εὔξασθε
ὑπὲρ τῶν ἀσθενῶν ἡμῶν καὶ ταλαιπώρων ἐκτενῶς
τῶν ἐν τοῖς ἀνομήμασι διερχομένων ἀμελῶς
τὸν βίον, ἵνα ταῖς ὑμῶν δεήσεσι γε καὶ αὐτοὶ
ὀφθῶμεν ἄξιοί ποτε τῆς κοινωνίας τῆς ὑμῶν
καὶ τῆς ὑμῶν ἀναστροφῆς, ὡς οὐδαμῶς δυνάμενοι,
ἄλλως ἡμᾶς ἐπιτυχεῖν τῆς σωτηρίας τῆς ἡμῶν.
Λίαν ἐσμὲν γὰρ ἀσθενεῖς καὶ ἄμοιροί τε ἀρετῆς
οἱ ἀνθρωπίσκοι οἱασοῦν, αὐτοῖς τε παραπλήσιοι
τοῖς κτήνεσι τοῖς τῇ γαστρὶ καὶ τῇ σαρκὶ δουλεύουσιν,
μηδέν τι ὅλως καὶ βραχὺ ἔχοντες ἴχνος ἀρετῆς
ἐνδείξασθαι οἱ τάλανες.
Συντεταγμένοι καίτοι γε ἐπὶ τῇ πίστει τῆς Χριστοῦ
ὁμολογίας τῷ Σταυροῦ ξύλῳ ἡμεῖς φερόμεθα
πλέοντες τὴν εὐρύχωρον καὶ τὴν μεγάλην θάλασσαν,
ἐν ᾗ παντοῖα ἑρπετὰ ἐπιπολάζ' ὧν ἀριθμὸς.
οὐκ ἔστιν πρὸς ἀρίθμησιν· ἐν ταύτῃ ζῶα εὕρηνται*

μικρὰ μετὰ μεγάλων τε ἐν ᾗ ὁ ἀγριώτατος
δράκων ἐμπαίζει διαρκῶς ἑτοίμως ἔχων εἰς βορὰν
αὐτοῦ ἡμᾶς ποιήσασθαι. Ἔνθα οἱ σύρται παμ-
[πληθεῖς
κινδύνων πλήρεις ὕφαλοι, καὶ Σκύλλαι καὶ Χαρύ-
[βδεις τε
καὶ ἄλλοι ὑπὲρ ἀριθμὸν τόποι κινδύνων εὕρηνται,
ἐν οἷς οἱ μὴ προσέχοντες ναυάγια ὑφίστανται
καὶ οἱ ὑπενδοιάζοντες περὶ τὴν πίστιν ἄνθρωποι.
Δεήθητε ὑπὲρ ἡμῶν πρὸς τὸν Θεὸν δεήθητε
ἡμᾶς νῦν κατοικτίροντες.
Τὰ στίφη τῶν ἁγίων νῦν τὰ σύμπαντα δεήθητε
καὶ ἅπαντες οἱ ὅμιλοι οἱ ἐν μακαριότητι
ὡς ταῖς ὑμῶν δεήσεσι καὶ ταῖς ἐντεύξεσιν ὑμῶν
ἀπαύστως βοηθούμενοι διασωθέντων
τῆς νεὼς καὶ τοῦ φορτίου γε ἡμῖν.
ἀξιωθῶμεν ἅπαντες εἰς τὸν λιμένα εἰσελθεῖν
τῆς σωτηρίας καὶ τῆς αἰωνίου ἀναπαύσεως
καὶ τῆς εἰρήνης καὶ χαρᾶς τῆς ἀνεκλείπτου εὐτυχεῖν
καὶ ἀσφαλείας τῆς μηδὲν πέρας ἐχούσης πώποτε.

ΚΕΦΑΛΑΙΟΝ ΚΕ'

Ψυχῆς πόθος πρὸς τὴν ἄνω Ἱερουσαλὴμ ἀνατεινομένης.

Ὦ μῆτερ Ἱερουσαλὴμ ἁγία πόλις τοῦ Θεοῦ
ἡ Νύμφη ἡ παράνυμφος τοῦ Θείου Ἰησοῦ Χριστοῦ,

ὡς σφόδρα ἡ καρδία μου ἐρᾶταί σου, ὡς λίαν δὲ
τοῦ κάλλους σου ἐπιθυμεῖ ἡ σοῦ ποθοῦσα μου ψυχή,
πόσον περίδοξος εἶ Σύ! ὡς λίαν εἶ διαπρεπής.
Ὅλη καλὴ ὡραία τε καὶ μῶμος οὐκ ἔστιν ἐν σοί,
ἀγάλλου ἡ περικαλλὴς θυγάτηρ Ἱερουσαλὴμ
τοῦ βασιλέως καὶ Θεοῦ, ἐπείπερ' ἐπεθύμησεν,
ὁ Βασιλεὺς τοῦ κάλλους σου·
ὅτι τὴν σὴν εὐπρέπειαν ὁ Κύριος ἠγάπησεν,
ὁ κάλλει ὡραιότατος παρὰ ἀνθρώπων τοὺς υἱούς.
Ἀλλὰ τί ὁ ἀδελφιδός σου ὁ ἀπὸ ἀδελφιδοῦ,
ὦ ἡ καλὴ ἐν γυναιξί; τί ἀδελφιδὸς ἀδελφιδοῦ;
ἀδελφιδός μου ὁ καλός ἐστι λευκός τε καὶ πυρρὸς
καὶ ἀπὸ μυριάδων δὲ ἐκλελεγμένος εὕρηται.
Ὡς μῆλον ἐν τοῖς τοῦ δρυμοῦ ξύλοις ἐστὶν ὑπέροχον
οὕτως ἐμὸς ἀδελφιδὸς ἐστ' ἀναμέσον τῶν υἱῶν·
ἐν τῇ σκιᾷ αὐτοῦ ἐγὼ καθῆσαι ἐπεθύμησα
καὶ εὔχαρις ἐκάθησα καὶ ὁ καρπὸς αὐτοῦ γλυκὺς
ἔστι μου ἐν τῷ λάρυγγι. Ἀδελφιδός μου ἀπέστειλε
χεῖρα αὐτοῦ ἐκ τῆς ὀπῆς,
καὶ ἐθροήθη ἐπ' αὐτὸν ἐκ πόθου ἡ καρδία μου.
Ἐπὶ τῆς κοίτης μου ἐγὼ ἐν ταῖς νυξὶν ἐζήτησα,
ὃν ἡ ψυχὴ μ' ἠγάπησεν· ἐζήτησα καὶ εὗρηκα
κρατῶ καὶ οὐκ ἀφήσ' αὐτὸν ἕως οὗ εἰσαγάγῃ με
εἰς τὴν Οἰκίαν τὴν αὐτοῦ, καὶ εἰς ταμεῖον τὸ αὐτοῦ.
Ὦ ἔνδοξ' Ἱερουσαλὴμ πόλις μου ἡ γεννήτρεια.»
Ἐκεῖ γάρ μοι τὰς σὰς θηλὰς ὡς μήτηρ ἐπορέξεις μοι
θελήσας δαψιλέστερον ἀλλὰ καὶ ἐντελέστερον
καὶ θαυμασίῳ κόρῳ τε ἐπικορέσεις με ἐκεῖ.

ὥστε μηδ᾿ ὅλως μὲ πεινᾶν καὶ εἰς αἰῶνα μὴ διψεῖν.
Ὡς μακαρία ἔσεται καὶ λίαν μακαρία δε
ἔσεται ἡ ἐμὴ ψυχή, ἐὰν ἀξιωθῶ ἐγὼ
τὴν δόξαν ἐποπτεῦσαί σου
τὴν ἄφατόν σου καλλονὴν καὶ τὴν μακαριότητα.
Καὶ τείχη δὲ καὶ πύλαι σου καὶ τὰς πλατείας σου αὐτὰς
καὶ τὰς μονάς σου τὰς πολλὰς καὶ τοὺς λαμπροὺς πο-
[λίτας σου
καὶ τὴν μεγαλοπρέπειαν τοῦ βασιλεύοντος ἐν Σοι.
Τὰ μὲν γὰρ τείχη σου αὐτὰ ἐκ πολιτίμων ἔκτισται
λίθων, οἱ δὲ πυλῶνες σου ἀρίστων ἐκ μαργαριτῶν
αἱ δὲ πλατεῖαι ἐκ χρυσοῦ δοκιμωτάτου ἔστρωνται
ἐν αἷς τὸ ἀλληλούϊα ὑμνεῖται τὸ χαρμόσυνον
τοῖς ἀσιγήτοις στόμασιν. Αἱ δὲ μοναὶ σου αἱ πολλαὶ
ἐφιδρυμέναι ἀκλινῶς λίθοις ἑδραίοις ἵστανται,
σαπφείροις συνδεδόμηνται χρυσείαις δὲ ἐπέστρωνται
πλινθίσιν, ἃς οὐδείς ποτε εἰσέρχεται ἀκάθαρτος
οὐδεὶς δὲ ἐν αὐτῇ οἰκεῖ μὴ ἡγνισμένος ἐντελῶς.

—

Καλὴ σὺ καὶ ἡδίστη εἶ ἐπὶ τοῖς ἐντρυφήμασι
ὦ Μῆτερ Ἱερουσαλήμ. Οὐδὲν ἐν σοὶ τοιοῦτόν τι
οἷα δὴ παθαινόμεθα ἡμεῖς ἐνταῦθα ἐν τῇ γῇ
τῇ ταλαιπώρῳ βιοτῇ ὁρῶμεν δὲ γινόμενα.
Ἐν σοι σκοτία οὐκ ἔστιν, οὐ νὺξ οὔτ᾿ ἄλλη τις τροπὴ
καιρῶν καὶ χρόνων παντελῶς, οὐ φῶς λυχνίας φαίνει
[ἐν σοὶ
σελήνης οὐκ ἀπαύγασμα, οὐδὲ ἀστρῷων σέλας τι.
Ἀλλὰ θεὸς ὁ ἐκ θεοῦ, τὸ φῶς τὸ θεῖον ἐκ φωτὸς

ὁ ἥλιος ὁ νοητὸς τὸ τῆς δικαιοσύνης φῶς
αὐτός ἐστιν πόλις Θεοῦ ὁ σε φωτίζων ἐς ἀεὶ
αὐτός ἐστιν ὁ πάλλευκος ἀμνὸς ὁ ὑπεράοπλος
αὐτός ἐστιν τὸ φῶς τὸ σόν, τὸ φῶς τὸ παμφαέστατον
καὶ τὸ ὑπερκαλλέστατον. Ὁ δὲ σὸς ἥλιός ἐστι
ἡ ἀγλαΐα ἡ πολλὴ ἡ ἐξ αὐτοῦ μαρμαίρουσα.
καὶ πᾶν τὸ ἐν σοι ἀγαθὸν ἡ ἀδιάλειπτος ἐστι
θέα τοῦ πανυπερκαλλοῦς καθηγεμόνος Ἰησοῦ.
Αὐτὸς γὰρ ὁ παμβασιλεὺς τῶν βασιλέων Βασιλεὺς
μέσῳ σου ἕστηκεν ἀεί, καὶ κύκλῳ ἵστανται αὐτοῦ
αἱ παῖδες οἱ κλητοὶ αὐτοῦ.

—

Οἱ Ὑμνολόγοι Ἄγγελοι καὶ αἱ χοροστασίαι αὐτῶν
ἐκεῖ ἐν σοὶ ἐπᾴδουσι τὸν ὕμνον τὸν Τρισάγιον
ἐκεῖ ἡ πάντερπνος ἐστι πανήγυρις καὶ ἑορτὴ
τῶν οἰχομένων ἀπὸ γῆς καὶ μεταστάντων πρὸς ζωὴν
ἀπὸ τοῦ βίου τῶν δεινῶν, τῆς ἐποδύνου βιοτῆς
καὶ παρεπιδημίας τε, ἐπὶ τὰς τέρψεις τὰς ἐν σοὶ
καὶ εὐφροσύνας διαρκεῖς.
Ἐκεῖ ὁ προορατικὸς ὅμιλος ὁ τῶν προφητῶν
ἐκεῖ ὁ δωδεκάριθμος τῶν Ἀποστόλων σύλλογος·
ἐκεῖ τῶν ἑβδομήκοντα χορὸς τῶν φίλων Μαθητῶν
ἐκεῖ ὁ ἀναρίθμητος Μαρτύρων ἐστι ὁ στρατὸς
ὁ τροπαιοῦχος τοῦ Χριστοῦ.
Ἐκεῖ τῶν Ὁμολογητῶν ὁ θίασος ὁ Ἱερός.
Ἐκεῖ εἰσιν οἱ Μοναστοὶ οἱ ἀληθεῖς καὶ τέλειοι.
Ἐκεῖ αἱ ἅγιαί εἰσι γυναῖκες αἱ νικήσασαι
τὸ ἀσθενὲς τοῦ θήλεως καὶ πάσας τε τὰς κοσμικὰς

ἐπιθυμίας ῥίψασαι.
Παῖδες ἐκεῖ καὶ κόρια τὰ τρόπων ἁγιότητι
καθυπερβάντα τὸ βραχυτελὲς τῆς ἡλικιώσεως
Ἐκεῖ πρόβατα λογικὰ ἐκεῖ ἀρνία καθαρὰ
ἃ τὰς παγίδας τῶν κακῶν ὀρέξεων ἐξέφυγε
Σύμπαντες ἅμα ἐν Μοναῖς ταῖς προσηκούσαις εὑ-
[ρηνται
χαίροντες εὐφραινόμενοι καὶ ἐναγαλλιώμενοι.
Καὶ ἡ μὲν δόξα ἡ αὐτῶν ἡ ἐν ἑκάστοις ἄνισος
κοινὴ ἡ τέρψις ἔστι δὲ καὶ ἡ εὐφροσύνη ἅπασιν.

—

Ἐκεῖ τελεία πλήρης τε ἀγάπη βασιλεύουσα.
ὅτι ἐκεῖ ἐστί ὁ Θεὸς τὰ πάντα καὶ ἐν ἅπασιν·
ὃν καθορῶσιν ἅπαντες ἀεὶ διαπορεύονται
τῷ πόθῳ τῆς ὁράσεως, αἰνοῦσιν ἀγαπῶντες δε
αἰνοῦντες ἀγαπῶσι δε
τὸ ἔργον ἅπαν τε αὐτοῖς ἐστιν αἰνεῖν τὸν Κύριον
ὑμνεῖν ἄνευ ἐλλείψεως, καὶ ᾄδειν ἄνευ λήξεως
ἄνευ καμάτου οὐδενός.
Ὄλβιος ἔσομαι ἐγώ, ὄλβιος ὄντως ἐς ἀεὶ
εἰ μετὰ τὴν ἀνάλυσιν τουτουῒ τοῦ σαρκίου μου
ἀξιωθείην καὶ αὐτὸς ἀκοῦσαι παριστάμενος
τῆς μελωδίας τῶν ᾠδῶν καὶ τῶν ἀσμάτων τ' Οὐ-
[ρανοῦ
ὧν οἱ πολίται σου ἀεὶ οἱ ὑπερκόσμιοι αὐτοί,
καὶ αἱ τῶν μακαρίων τε Πνευμάτων τῶν φωτοειδῶν
χοροστασίαι ᾄδουσιν.
Εὐδαίμων τρισευδαίμων τε εἴπερ ἄξιος γένωμαι

συμμελῳδῆσαι τὰ αὐτὰ καὶ παραστῆναι τοῦ Θεοῦ
ἐνώπιον αὐτοῦ καγὼ τοῦ ποιητοῦ καὶ ῥύστου μου
καὶ ἐν τῇ δόξῃ τε αὐτοῦ ἐμὲ θεάσασθαι αὐτόν·
καθάπερ καὶ ἠξίωσεν αὐτὸς προσεπαγγείλασθαι.
Λέγων, ὦ Πάτερ, οὓς ἐμοί σοι δέδωκας θέλω αὐτοὺς
ἵνα ὅπου εἰμι ἐγώ, κακεῖνοι ὦσι μετ' ἐμοῦ
ἵνα τὴν δόξαν τὴν ἐμήν, ἣν ἔδωκας μοι βλέπουσι
ἣν εἶχον, Πάτερ παρὰ Σοὶ πρὸ τοῦ τὸν κόσμον
[εἶναι Σοι
Σοὶ δὲ ἐπίσης εἴρηκας, «Ὅστις ἐμοὶ διακονεῖ αὐτὸς
[ἀκολουθείτω μοι·
καί, ὅπου δὲ εἰμὶ ἐγὼ ἐκεῖ καὶ ὁ διάκονος
ἔσεται μένων ὁ ἐμός.
Καὶ αὖθις εἴρηκας αὐτός. Πᾶς ὅστις ἀγαπᾷ ἐμὲ
ἀγαπηθήσεται αὐτὸς παρὰ τοῦ θείου μου Πατρὸς
ἐγώ τε ἀγαπήσω αὐτὸν καὶ ἐμφανίσω ἐμαυτόν.

—

ΚΕΦΑΛΑΙΟΝ ΚϚ'

Αἶνος διηνεκής, ὃν ἡ ψυχὴ ἀναπέμπει εἰς θεωρίαν ἀνατεινομένη τῆς ὑπεραρχίου Θεότητος.

Ψυχὴ εὐλόγει τὸν Θεὸν καὶ τὰ ἐντός μου ἅπαντα
τὸ θεῖον ὄνομα αὐτοῦ.
Ψυχὴ εὐλόγει τὸν Θεὸν καὶ μὴ ἐπιλανθάνου Σὺ
ἀνταποδόσεις τὰς αὐτοῦ· ἐν παντὶ τόπῳ, ὦ ψυχή,

τῆς δεσποτείας τῆς αὐτοῦ εὐλόγει Σὺ τὸν Κύριον.
Αἰνέσωμεν τὸν Κύριον ὃν εὐλογοῦσιν Ἄγγελοι
ὃν προσκυνοῦσιν αἱ Ἀρχαὶ δυνάμεις Κυριότητες
πρὸς ὃν βοᾷ τὰ Χερουβὶμ ἀπαύστως καὶ τὰ Σεραφὶμ
τὸ ἅγιος εἷς ἅγιος ἅγιος ὁ Θεὸς ὑμῶν.
συνάψωμεν τὰς ἑαυτῶν φωνὰς ταῖς τῶν Ἀγγελικῶν
καὶ τὸν Δεσπότην τὸν κοινὸν συγχρόνως ἀνυ-
[μνήσωμεν

κατὰ τὸ μέτρον τῆς ἡμῶν δυνάμεως πανευλαβῶς.
Ὑμνοῦσι γὰρ τὸν Κύριον αὐτοὶ ἐν καθαρότητι
διαλειμμάτων ἄνευ τε τὸν νοῦν προσέχοντες ἀεὶ
τῇ θεωρίᾳ τῇ αὐτοῦ τῇ ὄψει τῇ θεαρχικῇ
οὐκ ἐν ἐσόπτρῳ τὸν Θεὸν οὐδ ἐν αἰνίγματί τινι
βλέπουσι κατοπτεύοντες ἀλλ᾽ ἐν προσώπῳ πρὸς αὐτοῦ
τὸ πρόσωπον ὀπτεύοντες
Ἀλλὰ τίς ποτε ἱκανὸς ἔσται εἰπεῖν ὁποία τις
ἐστιν τῶν ἐν τοῖς Οὐρανοῖς πνευμάτων καὶ δυνάμεων
ἡ ἐποπτεία τοῦ Θεοῦ, Κυρίου παντοκράτορος;
Ὅση τις ἐστιν ἐν αὐτοῖς ἡ ἐκ τῆς θέας ἄλληκτος
χαρμόσυνός τε ἑορτὴ καὶ εὐφροσύνη ἄλειπτος
Τίς ἡ πυρσευομένη δὲ ζέσης τοῦ ἔρωτος αὐτοῦ
ἡ ὀδυνῶσα μηδαμῶς ἡδύνουσα δὲ ἐντελῶς.
Τίς ἐστιν ὁ διακαὴς πόθος ὁ τῆς ὁράσεως
μετὰ τοῦ χορτασμοῦ αὐτοῦ, καὶ τίς ἐστιν ὁ χορτα-
μετὰ τοῦ πόθου τοῦ Θεοῦ, [σμὸς
οἷς οὐδ᾽ ὁ πόθος ἐμποιεῖ ἀδημονίαν οὐδαμῶς
οὐδ᾽ ἀηδίαν παντελῶς συνεπιφέρει ὁ κορεσμός.
Πῶς τῇ μακαριότητι κεκολλημένοι εὕρηνται

οἱ σὺν Θεῷ μακάριοι; πῶς συνημμένοι τῷ φωτὶ
φῶτα ἐγένοντο αὐτοί; πῶς καθορῶντες ἐς ἀεὶ
τὴν ἄτρεπτον Τριαδικὴν Θεότητα οἱ ἅγιοι
εἰς ἀτρεψίαν καὶ αὐτοὶ ὡσαύτως μετατρέπονται;

—

Ἀλλὰ γὰρ πῶς; ὁπότ᾽ οὐδὲ νοῆσαι πῶς δυνάμεθα
τὸ ὕψος τῆς Ἀγγελικῆς ἀξίας καὶ λαμπρότητος
ὁπότε δὴ οὐδὲ αὐτῆς τὴν φύσιν τῆς ψυχῆς ἡμῶν
ἐξακριβῶσ᾽ ἰσχύομεν; Ὁποία τις αὕτη ἐστίν,
ἡ δυναμένη φυσικῶς τὴν σάρκα μὲν ζωοποιεῖν
ἐν δὲ ἐννοίαις ἑαυτὴν ἁγναῖς συστέλλειν ὡς αὐτὴ
ἐθέλει μὴ ἰσχύουσα;
Τίς αὕτ᾽ ἐστὶν ἡ σθένουσα καὶ ἀσθενοῦσα ἐνταυτῷ;
ἡ οὖσα ἅμα μὲν μικρά, ἅμα μεγάλη τε αὐτή·
ἡ καὶ τὰ βάθη τοῦ Θεοῦ διερευνᾶν ἰσχύουσα·
καὶ τὰ ἐν Οὐρανοῖς αὐτὰ εὐτόλμως ἐξιχνεύουσα
καὶ τὴν συμβαλλομένην δὲ πεῖραν ταῖς χρείαις ταῖς
[ἡμῶν

τέχναις παντοίαις τ᾽ εὐφυῶς εὐστόχως εὑρηκέναι τε
ἐνδεικνυμένη φαίνεται.
Τὶς αὕτη ἡ τοσαῦτά τα καὶ τηλικαῦτα τῶν λοιπῶν
περὶ εἰδυῖα, ἑαυτὴν δὲ ὅπως καὶ ἂν γένοιτο
παράπαν μὴ γινώσκουσα;
Καί τοι ἀμφισβητήσιμά τινα ἐνίοις φέρεται
περὶ τῆς κατ᾽ αὐτὴν ἀρχῆς καὶ οὐσιώσεως αὐτῆς
ποικίλως προβαλλόμενα, ἀλλὰ τοσοῦτον οἴδαμεν
ὡς πεφυκέναι πνεῦμά τι ὑπέργειον καὶ νοερόν.
καὶ παραχθῆναι τε αὐτὴν δυνάμει τῇ τοῦ κτίσαντος

τρόπῳ ἰδίῳ ζῶσαν μεν ἀτελευτήτως, σῶμα δε
θνητόν, ὅπερ εἰδοποιεῖν ἐτάχθη ὑπὸ τοῦ Θεοῦ
ζωοποιοῦσα τε αὐτό· τροπῇ αὐτὸ μὲν καὶ φθορᾷ
καὶ λήθῃ ὑποκείμενον· πτοήσει μὲν τὰ πλεῖστά γε
ἐνδιατιθεμένην πως χάρματ᾽ ἐπαιρομένην δὲ
ὢ παραδόξου πράγματος μεγάλην τε τὴν ἔκπληξιν
ἀξίου ὄντος τοῦ κινεῖν.
Περὶ Θεοῦ τοῦ πάντα μὲν σοφῶς δημιουργήσαντος
ἀκαταλήπτου τῷ νοΐ ἀνερευνήτου ὄντος τε
ἀνενδοιάστως ἅπαντες ἡμεῖς ἀναγινώσκομεν
θαυμάσια καὶ ὑψηλὰ λαλοῦμεν τε καὶ γαάφομεν·
περὶ ᾽Αγγέλων δὲ Θεοῦ καὶ περὶ ζῴων ὃ φαμὲν
οὐχὶ οὕτω σαφῶς ἡμεῖς προσεμπεδῶσ᾽ ἰσχύομεν!
ἀλλὰ ὁ νοῦς τοιαῦτά τα
ὑπερερχέσθω καὶ ὑπὲρ ἐπαναβήτω ὑπὲρ πᾶν
ὅ,τι κτισθὲν ἐφέστηκε, τρεχέτω δὲ ἀνίτω τε
ὑπτάσθω πρὸς τὰ ὑψηλὰ χωρείτω τε ἐπέκεινα·
ἐπὶ δὲ τὸν τὰ σύμπαντα σοφῶς δημιουργήσαντα
ὁ νοῦς ὡς ἔστι δυνατὸς τῆς πίστεως τοὺς ὀφθαλμοὺς
διευθυνέτω ἐς ἀεί.

᾽Εγὼ πρὸς γνῶσιν τοιγαροῦν βαθμίδας διαθήσομαι
ἐν τῇ καρδίᾳ τῇ ἐμοί, καὶ δι᾽ αὐτῶν ὑψούμενος
ἐπὶ τὴν ἐν ἐμοὶ ψυχὴν τὸ πρῶτον διαβήσομαι
διὰ δὲ ταύτης λογικῶς καὶ διανοίας καθαρᾶς
ἐπὶ τόν ὕψιστον Θεὸν βαίνων ἐπαναχθήσομαι·
τὸν ὕπερθεν τῆς κεφαλῆς ἐμοῦ ὑπεριστάμενον.
᾽Αποσοβείσθω τοιγαροῦν ὡς πορρωτάτω ὅ,τι οὖν
ἐκ πάσης γε ἐπιβολῆς καρδίας διανοίας τε

Εἴτι ὁρᾶται ὀφθαλμοῖς σωματικοῖς ὡς ἴνδαλμα
εἴτι πνευματικώτερον καὶ ἐν ἀυλοτέραις δὲ
εἰδοποιεῖται νοερῶς τισιν ἀνατυπώσεσιν.
Μόνος ὁ νοῦς ὁ ἀκραιφνὴς ὁ καθαρὸς καὶ ὁ ἁπλοῦς
ἐν ὀξυτάτῳ προϊὼν πτερώματι πανευλαβῶς
προσεπειγέσθω πρὸς αὐτὸν τὸν πάνσοφον δημιουργὸν
τῶν τε ᾽Αγγέλων καὶ ψυχῶν καὶ τῶν ἁπάντων
[ποιητὴν

᾽Ως μακαρία ἡ ψυχὴ ἡ τὰ μὲν κάτω ταπεινὰ
ἐμφρόνως παρατρέχουσα τὰ ἄνω δὲ διώκουσα·
ἡ ἀνατιθεμένη δὲ τὴν ἕδραν τῆς Οἰκήσεως
ἐπὶ τῶν ἄκρως ὑψηλῶν καὶ ὑπεργείων ἐννοιῶν
καὶ ὡς ἀπ᾽ ἀκροτόμων δὲ πετρῶν ὀρέων ὑψηλῶν
ἐν ᾽Αετίοις ὄμμασι
τὸν ἥλιον τὸν νοητὸν ἀεὶ ἐνατενίζουσα.
Οὐδὲν γάρ ἔστιν οὕτωσί καλόντε ἅμα καὶ τερπνὸν
ὡς τὸ ἐπὶ τὸν ᾽Ιησοῦν ἐνατενίζειν ἐς ἀεὶ
ἐν ἐποπτείαις νοεραῖς· καὶ ἀκορέστῳ πόθῳ τε
καρδίας ἐπιδέρκειν τε οὐ μέντοι ὁρατῶς αὐτὸν
καὶ βλέπειν τὸν ἀθέατον ὑπερφυέσι βλέμμασι
καὶ οὕτως ἀπογεύεσθαι οὔ τινος ἄλλης ἀλλ᾽ αὐτῆς
ἐκείνης τῆς γλυκύτητος· οὐδὲ εἰς ἕτερον τι φῶς
στρέφει αὐτῆς τὰ ὄμματα
ἀλλ᾽ εἰς τὸ φῶς τὸ ἄδυτον ἐνατενίζει πάντοτε.
Τὸ γὰρ δὴ φῶς τὸ παρ᾽ ἡμῖν οἷα δὴ τόπῳ χωρητῷ
χώρῳ περικλειόμενον καὶ χρόνῳ καθορίζεται

καὶ ταῖς νυκτεριναῖς τροπαῖς καὶ ταῖς συχναῖς διαδεὶ διαποικίλεται ἀεί τε διακόπτεται [διαδοχαῖς ἔστι κοινὸν δὲ καὶ ἡμῖν τῇ χρήσει καὶ τοῖς σκώληξι αὐτοῖς τέ τοῖς βοσκήμασιν.
Τὸ φάος τὸ ἡλιακὸν ἐν παραθέσει πρὸς τὸ φῶς ἐκεῖνο τὸ ὑπέρτατον τὸ φάος τὸ ἀίδιον οὐδέ τε ὀνομάζεσθαι φῶς ἄξιον αὐτό ἐστι, μᾶλλον δὲ σκότος ἤ γε νύξ.

ΚΕΦΑΛΑΙΟΝ ΚΖ΄

Τί τὸ ὁπωσοῦν τὸν Θεὸν ὁρᾶν καὶ ἔχειν. καὶ ὅπως ἡμῖν περὶ τοῦ Θεοῦ δοξαστέον.

Καίτοι δὲ ἡ ὑπερτάτη φύσις ὑπεριδρυμένη εὕρηται τροπῆς ἁπάσης τὸ τῆς ἀληθείας φάος τὸ μὴ διαλεῖπον φάος τῶν Ἀγγέλων θεῖον φάος ὑπὸ οὐδενὸς ὁρᾶσθαι δύναται κατὰ τὸν βίον (μόνοις γὰρ ὑπάρχει γέρας τοῖς ἐν Οὐρανίῳ λήξει) ἀλλ᾽ ἐν τούτοις τὸ πιστεύειν εἰς αὐτὸ ἀδιαλείπτως καὶ νοεῖν περὶ αὐτοῦ δὲ καὶ φρονεῖν, ἐφίεσθαί τε τοῦ φωτὸς τοῦ ἀιδίου, οἱονεί ἐστιν ὁρᾶν πως καὶ αὐτὸ διακατέχειν.
Ἡ φωνὴ ἡμῶν ἠχείτω τοίνυν ὑπὲρ τοὺς Ἀγγέλους καὶ ὁ ἄνθρωπος ὡσαύτως τὸν Θεὸν διὰ λατρείας πίστει ἀναθεωρείτω, αἴνεσιν καὶ εὐλογίαν ῥήμασιν αὐτῷ οἷς ἔχει ἀιδίως ἀναπέμπων.

Δικαιότατον γάρ ἐστιν ἵνα ἐξυμνῇ τὸ κτίσμα τὸν δημιουργὸν καὶ κτίστην. Ἐπὶ τῷ ὑμνεῖν αὐτὸν γὰρ ὑπὸ τοῦ Θεοῦ ἐπλάσθη ἄνθρωπος μὲ νοῦν καὶ λόγον, καίτοι ὕμνων ἐξ ἀνθρώπων οὐκ ἐδέετο ὁ πλάστης.
Δύναμις ἀνενδεὴς γὰρ καὶ μὴ περινοουμένη ἑαυτῇ τε ἀποχρῶσα. «Μέγας ὁ Θεὸς ἡμῶν γὰρ ἡ ἰσχὺς τ᾽ αὐτοῦ μεγάλη, τῆς συνέσεως αὐτοῦ δὲ ἀριθμὸς οὐκ ἔστιν ὅλως. Μέγας αἰνετός τε σφόδρα ἔστιν ὁ Θεὸς τῆς δόξης». Αὐτὸν ἄρα ἀγαπάτω ἡ ψυχή, αἰνείτω γλῶσσα καὶ ἡ χεὶρ περὶ τοῦ θείου ποιητοῦ αὐτῆς γραφέτω, καὶ μελέταις θειοτέραις ἐναδολεσχείτω πᾶσα ἡ διάνοια τοῦ πίστει τῷ Θεῷ παρισταμένου. Τῆς τοιᾶσδε δηλονότι Οὐρανίου ἀδολεσχίας τοῖς ἐδέσμασι τρεφέσθω ὁ ἐνδελεχῶς θεάμων ἀνὴρ τῶν ὑπερκοσμίων καὶ τῶν ἐπιθυμιῶν, καὶ τούτοις ἐπισιτιζέσθω, ὅπως ἂν τῆς Οὐρανίου τροφῆς ἐμπεφορημένος ἐν φωνῇ μεγάλῃ κράζῃ, καὶ ἐκ μυελῶν καρδίας, κράζῃ ἐν ἀγαλλιάσει καὶ περιφλεγεῖ τε πόθῳ τῆς ψυχῆς ἀναβοῶσα λέγῃ τῷ Θεῷ τῶν ὅλων.

ΚΕΦΑΛΑΙΟΝ ΚΗ΄

Εὐχὴ πλεῖστα τῶν προσόντων Θεῷ καταλέγουσα.

Θεέ μου ὑπερύψιστε, ἄριστε, παντοδύναμε, οἰκτίρμον, δικαιότατε, ὁ ὅλος ὢν ἀπόρρητος, ὁ ὅλος κρυφαιότατος, ὁ πανταχοῦ τε ὢν παρὼν

ὁ καὶ τὰ σύμπαντα πληρῶν, ὁ κάλλεσιν ἐξαίσιος
καὶ σθένει κραταιότατος, ὁ διαμένων ἐς ἀεὶ
καὶ ἄληπτος διατελῶν, ὁ ὢν ἀόρατος αὐτὸς
καὶ καθορῶν τὰ σύμπαντα, ὁ ἄτρεπος καὶ ἅπαντα
τρέπων κατὰ Σὴν βούλησιν· ἀθάνατε, ἀχώρητε,
ἀπεριόριστε θεὲ καὶ ὅλως ἀπερίγραπτε,
ἄφραστε, ἀτερμάτιστε, Θεὲ ἀνεξιχνίαστε·
Θεὲ ὁ ὢν ἀκίνητος καὶ συγκινῶν τὰ σύμπαντα·
ὁ ὢν ἀνεξερεύνητος καὶ ὅλως ἀνερμήνευτος·
ὁ φοβερὸς φρικώδης τε· ὁ δοξαστέος ἐς ἀεὶ
καὶ φοβητέος πάντοτε, ὁ ὑπερσεβαστέος τε
καὶ λατρευτέος πανταχῇ· ὁ ὢν οὐδέποτε καινὸς
οὐδέποτε δὲ παλαιός, ὁ ἐγκαινίζων σύμπαντα
καὶ τοὺς ὑπερηφάνους τε ἐξάγων εἰς παλαίωσιν,
αὐτοὶ δὲ οὐκ ἐπίστανται.

Ὁ ἐς ἀεὶ διενεργῶν, ὁ ἐς ἀεί τε ἠρεμῶν·
συλλέγων ὁ ἀνενδεὴς καὶ χρήζων τούτων μηδενός·
ἀφόρτως φέρων ἅπαντα ἀπερισχέτως τε πληρῶν·
παράγων ἐπισκέπων τε καὶ διατρέφων σύμπαντα·
ὁ ἐκζητῶν ἀνενδεῶς, ὁ ἀσαλεύτως τε φιλῶν
ὁ ἀτρεκέως τε ζηλῶν καὶ ἀνυπόπτως ἀγαπῶν.
Σοὶ μεταμέλει, ἀγαθέ, οὐκ ἀνιᾶσαι δέ ποτε,
ὀργίζει καὶ γαληνιᾷς· τὸ ἔργον μεταμείβεις τε,
ἀλλ' ἥκιστα τὸ βούλημα. Καὶ προσεκδέχει ὅπερ οὐχ
εὑρίσκεις ἐν τῇ ποίμνῃ σου καὶ ὅπερ οὐκ ἀπώλεσας.
οὐδ' ἐν ζημίᾳ ὢν ποτε Σὺ ἐπιχαίρεις κέρδεσιν·
οὐδέποτε πλεονεκτεῖς, ἀλλὰ καὶ τόκους ἀπαιτεῖς,
ὅ,τι ἂν σοί τις προσδιδῷ, Σὺ ἀποδέχει εὐμενῶς,

ἵν' ἐποφείλῃς Σὺ αὐτῷ.
Καὶ τί γὰρ κέκτηταί ποτέ τις ἔχων, ὃ οὐκ ἔστι Σόν ;
Σὺ ἀποδίδως ὀφειλάς, ὀφείλων ὅλως μηδενί·
ἀφίῃς ὀφειλήματα μηδόλως ἀπολλὺς Αὐτός.
Ὁ ἅπαντα ζωογονῶν, ὁ πάντα κτίζων Κύριος,
ὁ ὢν δὲ πανταχοῦ παρών, ὅλος ὑπάρχων πανταχοῦ·
Ὁ συνορᾶσθαι ὁπωσοῦν, ὁρᾶσθαι δὲ οὐκ ἔχων πως·
ὁ οὐδαμόθεν οὐδαμῶς τοῦ σύμπαντος ἐφεστηκώς,
ἀπὸ τῶν παρανόμων δὲ διαβουλίων ἀσεβῶν μακρὰν
[ἀπέχων πάντοτε.

Ὁ μηδ' ἐκεῖθεν ὢν ἀπών, ὅθεν πόρρω ἀφέστηκας,
Ἔνθα γὰρ οὐχ ὑπάρχεις Σὺ παρὼν τῇ θείᾳ χάριτι,
πάρει τῇ ἐκδικήσει Σου.
Ὁ πάντων τῶν κτισμάτων μὲν Σου ἀντιλαμβανόμενος,
ἐπίσης μέντοι πάντων οὔ. Ἔσθ' ὧν ἀντιλαμβάνει γάρ,
ὥστε αὐτὰ εἶναι ἀεί, οὐχ ὥστε δὲ καὶ ζῆν αὐτὰ
ἢ καὶ αἰσθάνεσθαι αὐτά, ἢ καὶ διανοεῖσθαί τι.
Ἔστι δ' ὤν, ὥστε εἶναί τε καὶ ζῆν τε καὶ αἰσθά-
ἀλλ' οὐ διαλογίζεσθαι. [νεσθαι,
Ἔστι δ' ὤν, ὥστε εἶναι τε καὶ ζῆν ὡς καὶ αἰσθά-
ὡς καὶ διαλογίζεσθαι. [νεσθαι

Καὶ Σὺ οὐδέποτε αὐτὸς σαυτοῦ πέλων ἀνόμοιος,
πλὴν ἀνομοίως τῶν ἡμῶν ἐφάπτει Σὺ ἀνομιῶν
ὁ καὶ ἁπανταχοῦ μὲν ὤν, ἀεὶ τοῖς πᾶσί τε παρών,
μόλις δέ που δυνάμενος ἀνευρεθῆναι, Κύριε.
Ὃν διώκομεν ἑστῶτα καὶ καταλαβέσθαι πάμπαν
σπεύδοντες ἀδυνατοῦμεν, ὁ τὰ πάντα ἐμπιπλῶν τε,
ὁ τὰ πάντα τε συνέχων ἐν δρακί τε περιέχων

καὶ τὰ πάντα ὑπερέχων, ἅπαντα δὲ ὑπανέχων·
οὐδὲ γὰρ ἐκ μέρους μόνον ἄλλου μὲν Σὺ ὑπανέχεις,
ἄλλου δὲ ἐξαπολείπεις· οὐδὲ ἄλλοθεν ἐμπίπλης,
ἄλλοθεν δὲ περιβάλλεις, ἀλλ᾽ ἀμφότερα ἐργάζει,
περιβάλλων ἐμπιπλᾷς μέν, ἐμπιπλῶν δὲ περιβάλλεις·
ὑπανέχων ὑπερέχεις, ὑπερέχων ὑπανέχεις.
Ὁ τὰς τῶν πιστῶν καρδίας ἐκδιδάσκων ἄνευ ψόφου,
ἄτερ φθόγγων ἐκπαιδεύων.
Ὁ εὐρώστως διατείνων ἀπὸ πέρατος εἰς πέρας,
ὁ χρηστῶς τε διευθύνων καὶ ὁ διοικῶν τὰ πάντα.
Ὁ μὴ ἐκτεινόμενός τε μὴ περιτρεπόμενός τε
μηδὲ ἐν καιροῖς καὶ τόποις.
Ὁ μηδὲ προσόδους ἔχων, ἀλλ᾽ οὐδὲ ἐξόδους ἔχων,
φῶς οἰκῶν ἀπρόσιτον Σὺ ὃ οὐδεὶς πω τῶν ἀνθρώ-
ἐθεάσατο ἐν βίῳ, οὐδ᾽ οὐ μὴ θεάσηταί πως [πων
Κατὰ σεαυτὸν δὲ μένων ἀκινήτως ἀϊδίως,
πάντοτε τὸ σύμπαν ὅλον καὶ ἑκασταχῇ ἐν μέρει
ὅλος ὅλως περιίης. Καὶ γὰρ οὐκ ἀποτμηθῆναι
ἢ διαιρεθῆναι ἔχεις, ὅτι εἷς εἶ ἀληθείᾳ,
οὐδ᾽ ἂν γένοιο εἰς μέρη, ὅλον ὅλος γὰρ κατέχεις,
ὅλον τε πληροῖς ἀπαύστως, ὅλον τε περιαυγάζεις,
καὶ τῶν ὅλων Σὺ δεσπόζεις.

—

Ἀμέλει οὔ τις νοῦς ποτε ἀνθρώπινος ἐφίκοιτο
τοῦ μυστηρίου τουτουῒ τὸ βάθος τὸ ἀμέτρητον,
οὐ γλῶσσα διεξέλθοι δὲ ἐξόχως ῥητορεύουσα,
οὐδ᾽ ἀναπτύξειέν ποτε χεύματα διεξοδικῶν
λόγων ῥητόρων εὐφραδῶν, οὐδ᾽ ἔτι βιβλιοθηκῶν

τεύχη ἁδρὰ πολύπτυχα· οὐδὲ ἂν τὰ γραφόμενα
βιβλία ἐπεμπλήσαιεν ὅλον τὸν κόσμον, δι᾽ αὐτῶν
τὰ τῆς σοφίας τοῦ θεοῦ ἔργα ἀνεκδιήγητα
διερμηνεύσειάν ποτε. Ἄφραστος γὰρ εἶ ἀληθῶς
καὶ ὅλος ἀπερίγραπτος καὶ τοῦ φωτὸς ὑπάρχεις Σὺ
πηγὴ ἀκατανόητος, καὶ ὁ τοῦ αἰωνίου τε ἥλιος ἀμα-
[ρύγματος.
Καὶ γὰρ εἶ Μέγας, Κύριε, ἄνευ ποσότητός τινος,
διὸ ἀκαταμέτρητος· καὶ ἀγαθὸς εἶ, Κύριε,
ἄνευ τινὸς ποιότητος, διὸ καὶ ὑπεράγαθος·
οὐδεὶς δὲ ἄλλος ἀγαθὸς εἰ μὴ Σὺ μόνος, Κύριε·
οὗτινος θέλησίς ἐστιν ἡ ἄπαυστος ἐνέργεια,
τὸ θέλειν δὲ αὐτό ἐστιν τὸ δύνασθαι καὶ ἐνεργεῖν.

—

Ὁ πάντα ἐκ τοῦ μηδενὸς ὡς δυνατὸς παραγαγών,
ὅσα γὰρ Σὺ ἠθέλησας ἐποίησας ὡς παντουργός·
ὁ ἅπαντα ἀνενδεῶς κατέχων ἃ ἐποίησας,
εὐθύνων δὲ καὶ κυβερνῶν ἀπόνως τε ἀόχλως τε,
ὡς μὴ ὑπάρχειν μηδὲ ἕν, ὅπερ διαταράξειε
τὴν τάξιν ἣν τὸ κράτος Σου ἔθετο κατὰ βούλησιν,
οὔτ᾽ ἐν τοῖς ἄνω οὔτε ἐν τοῖς κάτω ὅλως μηδαμῶς.
Ὁ ἄνευ τόπου ἐν παντὶ τόπῳ οἰκῶν, ὁ ἄστεκτος,
ὁ περιέχων ἅπαντα, ὁ ὢν ἀπεριόριστος,
ὁ πανταχοῦ ἀεὶ παρὼν ἀθέτως μὴ μεταβατῶς.
Ὃς οὐδὲ τοῦ κακοῦ ποτε τυγχάνεις Σὺ παραίτιος,
ὅπερ οὐ δύνασαι ποιεῖν, ὁ τὸ παράπαν οὐδέν τι
οὐχὶ ποιεῖν δυνάμενος, καὶ ᾧ περ ἐπὶ οὐδενός,
ὅσα ποτὲ ἐποίησας, ἐπῆλθέ Σοι μετάμελος

τοῦ τὰ πεποιηκέναι Σε, οὔθ' ὑπὸ μηδενός ποτε
σάλου καὶ κλύδωνος ὅλως Σοι θροηθῆναι γένοιτο
καὶ οὐδὲ ἂν τῆς πάσης γῆς οἱ κίνδυνοι οἱ παμπληθεῖς
Σοὶ προσλυμήναιντό ποτε. Οὐδὲν γὰρ μοχθηρὸν αὐτὸς
οὔτ' εὐδοκεῖς ἀνόσιον οὔτ' ἐπιτάσσεις πώποτε.

—

Ὅτι τὸ ψεῦδος ἀπὸ Σοῦ πόρρω που ἀπελήλαται,
ὃς ἡ ἀλήθεια αὐτὸς ὑπάρχεις ἡ αἰώνιος.
Ὑφ' οὗ μὲν ὄντος ἀγαθοῦ ἡμεῖς αὐτοὶ παρήχθημεν,
δικαίου δὲ ὑπάρχοντος, ποινὰς ἐναποτίνομεν·
οἰκτίρμονος δὲ πέλοντος, δεινῶν ἀπορρυόμεθα.
Οὐδὲν οὖν τῶν ἐν Οὐρανοῖς, οὐδὲ τῶν ἐπὶ γῆς ποτε,
οὐδέ τι ὑποχθόνιον, ὃ τῇ αἰσθήσει εὔληπτον,
ἔσται ἡμῖν σεβάσμιον ἀντὶ τοῦ ὄντος Σοῦ ὃ εἶ,
οὐκ ἐπιδεχομένου δὲ οὐδεμίαν ἀλλοίωσιν.
Κυρίως γὰρ καὶ ἀληθῶς Σύ εἶ ὁ ὤν, ὅτι ἀεὶ
εἶ ὁ αὐτός, τὰ ἔτη Σου οὐδέποτε ἐκλείψουσιν.

—

Ταῦτα ἡ Ἐκκλησία με ἡ Μήτηρ ἐξεπαίδευσεν,
ἧς μέρος τῇ Σῇ χάριτι εἰμὶ ὁ δείλαιος ἐγώ.
Ὀρθῶς γάρ με ἐδίδαξεν ἕνα Σὲ μόνον τὸν αὐτὸν
ὄντα Θεὸν ἀληθινόν, καὶ ὄντα σώματος ἐκτός,
πάθους παντὸς ὑπέρτερον, μηδὲν δὲ τῶν περὶ τὴν Σὴν
καὶ φύσιν καὶ οὐσίαν τε ὅλως τε εἶναι βιαστὸν
ἤ τι τρεπτὸν ἢ σύνθετον ἢ καὶ πεποιημένον τι.
Διὰ δὲ τοῦτο οὐ ποτε καὶ ὁρατὸς ἂν γένοιτο
σωματικοῖς τοῖς ὀφθαλμοῖς, οὐδ' ἔστιν ὅστις τῶν θνη-
ἑώρακέ σε πώποτε κατά γε τὴν Οὐσίαν σου. [τῶν

Ἐξ οὗ πάρεστι συνιδεῖν, ὅτι αὐτόθεν καὶ ἡμεῖς
ἐπὶ τῆς λήξεως αὐτῆς μετὰ τὸν βίον τὸν ἐν γῇ,
Σὲ τότε ἐποψόμεθα, ὅθεν οἱ Ἄγγελοι οἱ Σοὶ
χαίροντες καθορῶσί Σε.
Οὐ πάντες γὰρ οὐδὲ αὐτοί Σὲ κατοπτεύειν δύνανται,
οἷός περ εἶ, καὶ γὰρ ἑνί γε ἄλλῳ πλέον μηδενὶ
εἰμὴ Σοὶ μόνῃ ἑαυτῇ γινωσκομένη, ὦ Τριάς,
Σὺ ἡ εἰδυῖα ἅπαντα καὶ ἅπαντα ἰσχύουσα.

—

ΚΕΦΑΛΑΙΟΝ ΚΘ΄

Περὶ τῆς Τριάδος τῶν προσώπων καὶ τοῦ ἑνιαίου ἐπὶ τῆς τοῦ Θεοῦ φύσεως.

Σὺ τοίνυν, ὦ θεαρχικὴ μονάς, ἡ Τρισυπόστατος,
ἡ τοῖς προσώποις ἐν τρισὶ πληθυνομένη ἀριθμῷ,
ἡ οὖσα ἀναρίθμητος καὶ μετρικῶς ἀμέτρητος
καὶ σταθμητῶς ἀστάθμητος. Οὐ γὰρ τῆς ἀγαθότητος
τῆς ἀκροτάτης, ἣ αὐτὸς Σὺ εἶ, τὴν φύσιν οἴδαμεν,
ἐξ ἧς τὰ πάντα γέγονεν, δι' ἧς τὰ πάντα ἥδρασται,
ἐν ᾗ τὰ πάντα ἵστανται, ἐν μετουσίᾳ δὲ αὐτῆς
καλὰ τὰ πάντα λέγομεν. Ἡ γὰρ ὑπέρθεος ἡ σὴ
οὐσία ἄμοιρός ἐστιν ἐς ἀεὶ ὕλης ἀμοιρεῖ
μὴ ἀμοιροῦσα δὲ μορφῆς, ἀμόρφου οὔσης δηλαδὴ·
μορφῆς μορφῶν ὑποστατῶν εὐμορφοτάτης δε μορ-
ἣν ἐπειδὰν διατυποῖς σφραγῖδα ὡσανεί τινα [φῆς.

τῶν ὄντων ἐφ' ἑκάστοις, ἀναυξήτως δὲ καθ' ἑαυτὸν
καὶ ἀπαραμειώτως τε, ἅτε ὑπάρχων ἄτρεπτος,
καὶ ἑτεροῖα σεαυτοῦ σὺ ἀποφαίνεις ἅπαντα.
Εἰ γὰρ παρῆκται ποίημα τοῖς οὖσιν ἐν ποιήμασιν,
Σὸν τοῦτό ἐστι ποίημα.

—

Θεέ, Τριὰς μοναδική, Θεέ, Τριαδικὴ μονάς,
ὁ ἅπαντα περικρατῶν τῇ πανσθενεῖ ἰσχύι σου
καὶ περιέπων καὶ πληρῶν πάντα ὅσα ἐποίησας!
Οὐχ οὕτω Σέ φαμεν πληροῦν τὰ πάντα ὡς συνέχεσθαι
καὶ περιέχεσθ' ὑπ 'αὐτῶν, ἀλλ' ὡς αὐτὸν μᾶλλον αὐτὰ
Σὲ πάντα περιέχοντα, οὐ γὰρ ἐν μέρει Σὺ πληροῖς
τὰ πάντα· οὐδ' ἡγεῖσθ' εἰκὸς ἕκαστον τῶν κτισμάτων Σε
κατὰ τὴν μοῖραν τοῦ αὐτοῦ μεγέθους ἐπιδέχεσθαι·
τουτέστι ἐπὶ πλέον μὲν τὸ μέγα ἐπιδέχεσθαι,
τὸ δ' ἔλαττον ἐπ' ἔλαττον. Ἐπεὶ αὐτὸς ἐν πᾶσιν εἶ
ἤτοι αὐτὰ ἐν σοί ἐστιν.
Ἡ Σοῦ παγκρατορία γὰρ τὰ πάντα περιείληφεν,
οὐδὲ τοῦ διαδρᾶναί τις τὸ κράτος σου τὸ ἄπειρον
πόρον εὑρεῖν δυνήσεται.
Ὁ γὰρ μὴ ἔχων ἵλεων Σὲ ἐν τοῖς πταίσμασιν αὐτοῦ,
οὐδὲ ἐποργισθέντα Σε ἕξει ποτὲ διαφυγεῖν.
«Οὔτε ἀπὸ ἐξόδων γὰρ ἡλίου οὔτ' ἀπὸ δυσμῶν
οὔτε ἀπὸ ἐρήμων τε ὀρέων· ὅτι ὁ Θεός ἐστι κριτὴς
[τοῦ σύμπαντος»
«Ἀπὸ τοῦ πνεύματος τοῦ Σοῦ ποῦ πορευθῶ, ὦ ποιητά;
καὶ ἀπὸ τοῦ προσώπου Σου ποῦ φύγω, δίκαιε κριτά;»

—

Τῆς Σῆς μεγαλωσύνης τὸ ἄμετρον ἀνάγει
ἡμᾶς νοεῖν ἐντός Σε τοῦ σύμπαντος ὡς ὄντα,
οὐκ ἐγκλειόμενον δέ· ἐκτὸς ἁπάντων ὄντα,
οὐκ ἐκκλειόμενον δέ· τούτου γε ἕνεκέν τε
ἐνδότερος μὲν εἶ Σὺ ὡς ἅπαντα συνέχων,
ἐξώτερός τε ἅμα ὡς πάντα περικλείων
τῷ Σῷ ἀπεριγράπτῳ ἀμέτρῳ μεγαλείῳ.
Καὶ ὅτι Σὺ εἶ ἔνδον, δημιουργὸς ἐμφαίνει·
ὅτι ἐκτός, ὁ πάντων δείκνυσαι κυβερνήτης.
Καὶ εἶ ἐντός, τῷ πάντα ἅπερ ἐποίησας Σὺ
μὴ εἶναι ἄνευθέν Σου· ἐκτὸς δ' ὑπάρχεις ὅτι
ἐγκλείεται τὰ πάντα ὑπὸ τοῦ Σοῦ μεγέθους,
οὐ τοπικῷ μεγέθει, ἀλλὰ τῇ παρουσίᾳ
τῇ Σῇ παντοδυνάμῳ τῇ πανταχοῦ κυρούσῃ
καὶ ὅτι πάρεισί Σοι τὰ πάντα σοῦ ἀντίον·
καί περ εἰσί τινες μὲν οἳ ταῦτα συνιᾶσιν,
εἰσὶ καὶ οὐδαμῶς δὲ οἳ ταῦτα ἐννοοῦσι.

—

Ἡ μὲν Μονὰς κατ' οὐσίαν τῆς φύσεώς Σου τῆς θείας
οὐκ ἔχοι κεχωρισμένα τὰ πρόσωπα ἀπ' ἀλλήλων·
ὡς γὰρ Τριὰς ἐν Μονάδι καὶ ἐν Τριάδι Μονὰς εἶ,
οὕτωσὶ διαιρεθῆναι οὐκ ἔστιν ἐν τοῖς προσώποις.
Καὶ ὀνομάζεται μὲν γὰρ καθ' ἕκαστα καὶ ἰδίᾳ
τὰ πρόσωπα ἔστιν ὅτε, ἀλλ' οὕτως Σὺ ἠβουλήθης
ἡ ἐν Τριάδι Θεότης ἀδιαχώριστος εἶναι
ἐνδείξασθαι τοῖς προσώποις, ὥστε μηδὲν ὄνομά Σοι
ἐπὶ ἑκάστῳ προσώπῳ εἶναι τὸ μὴ προσανῆκον
καὶ πρὸς τὸ ἕτερον πάντως.

῾Ως ὁ Πατὴρ πρὸς τὸν Υἱὸν ἀείποτε ἀναφέρεται,
πρὸς τὸν Πατέρα δ' ὁ Υἱὸς, οὕτω καὶ τὸ πανάγιον
πρὸς τὸν Πατέρα καὶ Υἱὸν Πνεῦμα προσαναφέρεται.
Τὰ δὲ ὀνόματα αὐτὰ ἃ ἐκδηλοῦσι τὴν ἐν Σοὶ
φύσιν, οὐσίαν, δύναμιν καὶ ὅ,τι ἄλλο δήποτε,
ὃ ὄντως λέγεται Θεὸς, ἅπασι τοῖς Τριαδικοῖς
προσώποις προσανήκουσιν· οἷον τὰ ἰδιώματα
Θεὸς ὁ παντοδύναμος, ὁ Μέγας, ὁ Αἰώνιος,
καὶ πάντα τὰ λεγόμενα περὶ τῆς θείας φύσεως
καὶ τῆς Οὐσίας σου Θεέ.
Οὐδὲν ἄρα τῆς φύσεως τῆς Θεαρχίου ὄνομα
ἔστι αὐτῆς σημαντικόν, ὃ Σοὶ προσήκει τῷ Πατρί,
ὃ μὴ προσήκοι τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι.
Σὲ τὸν Πατέρα οὖν φαμεν φύσει Θεὸν εἶναι, ἀλλὰ
καὶ φύσει ὁ Υἱὸς Θεός, καὶ φύσει τὸ πανάγιον
Πνεῦμα Θεός, οὐ μὴν δὲ τρεῖς θεοί εἰσι διαιρετοί,
ἀλλ' εἷς τῇ φύσει εἶ Θεός· ὁ ὢν Πατὴρ καὶ ὁ Υἱὸς
καὶ Πνεῦμα τὸ πανάγιον.

Διὸ ἀδιαχώριστος Τριὰς ἁγία εἶ Θεὸς,
ἐννοουμένη ἐν τρισὶ προσώποις, καί τοι τῇ φωνῇ
κεχωρισμένα φέρουσα ἑκάστῳ τὰ ὀνόματα.
ἐπὶ τῶν ὀνομάτων γὰρ οὐκ ἐπιδέχει ἀριθμὸν
πληθυντικόν, ἃ πρὸς αὐτὴν τὴν φύσιν σου ἀνάγεται.
᾿Εν τούτῳ δείκνυται σαφῶς μὴ ἔχειν ἐκχωρίζεσθαι
τὰ πρόσωπα ἀπὸ ἀλλήλων ἐπὶ τῆς Τριαδικῆς
ἁγίας θείας φύσεως· ἥτις Θεὸς ἀληθινὸς

εἷς ἐστι καὶ μοναδικός· ὅτι τὸ ὄνομα ἑνὸς ἑκάστου
τοῦ θεαρχικῶν
προσώπων πρὸς τὸ πρόσωπον ἑτέρου ἀναφέρεται.
᾿Εὰν Πατέρα εἴπω γάρ, καὶ τὸν Υἱὸν ὑπέφηνα·
εἰ δ' ὀνομάσω τὸν Υἱόν,καὶ τὸν Πατέρα προσφωνῶ·
ἐὰν ἀνακαλέσω δὲ τὸ Πνεῦμα τὸ πανάγιον,
ἔσθ' οὗτινος Πνεῦμά ἐστι ἐλλόγως ἐξυπονοῶ,
τὸ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ.
Αὕτη ἡ πίστις εἰς Θεόν, ἡ πίστις ἡ ἀληθινή,
ἡ πίστις ἡ προσήκουσα ἐκ τῆς ἁγνῆς καὶ ὑγιοῦς
διδασκαλίας· ἥ ἐστιν ἡ πίστις ἡ ᾿Ορθόδοξος,
ἡ πίστις ἡ Καθολικὴ, ἣν ὁ Θεὸς ἐν τοῖς Μητρὸς
τῆς ᾿Εκκλησίας κόλποις με χάριτι ἐμυήσατο.

ΚΕΦΑΛΑΙΟΝ Α'

Δέησις πρὸς τὴν παναγίαν Τριάδα.

᾿Επικαλεῖταί Σε τοίνυν, ὁ Κύριος καὶ Θεός μου,
ἡ ἐν ἐμοὶ πίστις αὕτη, ἣν εἰς ἐμὴν σωτηρίαν
μοὶ ἕνεκεν ἐδωρήσω τῆς θείας χρηστότητός Σου.
῾Η γὰρ ψυχὴ τοῦ πιστεύοντος εἰς Τριάδα ἁγίαν
ἐκ μὲν τῆς πίστεως αὕτη ζῇ, ἐν δ' ἐλπίδι κατέχει
ὃ ὄψεται μετὰ ταῦτα ἐν πράγματι, ὡς ὑπάρχει.
᾿Επικαλεῖται, Θεέ μου, τὸ τοῦ ἐμοῦ συνειδότος
εἰλικρινὲς καὶ ὁ ἔρως τῆς πίστεως ὁ γλυκύς μου,

δι᾽ ἧς ἐσκέδασας ὅλως τὸν σκοτισμὸν τῆς ἀγνοίας
καὶ εἰς ἐπίγνωσιν Σύ με ὡδήγησας ἀληθείας,
καὶ τῆς πικρᾶς τοῦ αἰῶνος ἐξήγαγες ἀφροσύνης
καὶ κατεγλύκανας θείως ἐλέει φιλανθρωπίας
τῷ ἡδυτέρῳ τῇ γλώττῃ ὑπὲρ κηρίον καὶ μέλι.
Ἐπιβοᾶταί Σε, θεία Τριὰς μακαριωτάτη,
κραυγῇ περιτρανοτάτῃ, καὶ πόθῳ ἀκραιφνεστάτῳ,
ἡ ἐν ἐμοὶ οὖσα πίστις, ἣν ἁπαλῶν ἐξ ὀνύχων
τῇ λάμψει τῆς χάριτός σου ἀεί με διαφωτίσας
καὶ διὰ τῶν διδαγμάτων τῶν τῆς Μητρὸς Ἐκκλησίας
προσεπαυξήσας μοι ταύτην, μὲ ὑπεστήριξας πάντα.
Σὲ νῦν Τριὰς Ἑνιαία, Μοναδική, Μακαρία,
Ὦ ὑπερευλογημένη καὶ ὑπερύμνητος μόνη,
Πάτερ, Υἱὲ, καὶ τὸ Πνεῦμα,
ὁ εἷς καὶ μόνος Θεός τε καὶ Κύριος τῶν ἁπάντων,
ὁ παρακλήτωρ, ἡ μόνη ἀγάπη καὶ χαρμοσύνη,
ἡ χάρις καὶ χορηγία μετάδοσις τε τελεία
τῶν ἀγαθῶν δωρημάτων ἐπιβοῶμαι εὐγνώμων.

—

Ὁ Γεννήτωρ ὁ πατήρ, ὁ Υἱὸς ὁ γεννηθεὶς,
ὁ ἡμᾶς ἀναγεννῶν τὸ ἀληθινὸν τὸ φῶς,
τὸ ἐκ τοῦ ἀληθινοῦ φῶς φωτὸς ἀληθινὸν,
φωτισμὸς ὁ ἀληθής. Ἡ πηγὴ, ὁ φωτισμὸς,
ῥεῦμα τὸ τοῦ φωτισμοῦ. Ἐξ ἑνὸς τὰ πάντα γὰρ,
ἅπαντα δὲ δι᾽ ἑνός, ἐν ἑνὶ τὰ πάντα τε.
Ἐξ οὗ καὶ δι᾽ οὗ εἰσιν, ἐν ᾧ πάντα ἥδρασται.
Ζωὴ ζῶσα ἐς ἀεί, ζωὴ οὖσα ἐκ ζωῆς,
ζωὴ ἡ ζωοποιός. Εἷς ἑνὶ ἐξ ἑαυτοῦ

δύο αὖθις ἐξ ἑνὸς καὶ τὰ τρία εἷς ἐστιν·
ὁ Πατὴρ ἀλήθεια, ὁ Υἱὸς ἀλήθεια,
καὶ ἀλήθειά ἐστι Πνεῦμα τὸ παράκλητον·
Μία ἄρα τοῦ Πατρὸς καὶ τοῦ Λόγου τοῦ Πατρὸς
καὶ τοῦ παρακλήτου δὲ ἡ οὐσία πέφυκε,
μία τε ἡ Δύναμις, Ἀγαθότης μία τε,
ἡ Μακαριότης τε ἐξ οὗ πάντα καὶ δι᾽ οὗ
καὶ ἐνῷ μακάριά ἐστιν ὅσα ἔλαχε
τῆς μακαριότητος.

ΚΕΦΑΛΑΙΟΝ ΛΔ'

Ὅτι ὁ Θεὸς ἡ ἀληθινὴ καὶ ἀκροτάτη ζωὴ ἐστιν

Ὁ Θεός, ἡ ἀκροτάτη καὶ ἀληθινὴ ζωὴ εἶ,
ὑφ᾽ οὗ καὶ δι᾽ οὗ τὰ πάντα καὶ ἐν ᾧ εἰσι τὰ πάντα
ὅσα περ ζῇ καὶ κινεῖται ἐν Σοὶ πάντα μακαρίως.
Ὁ Θεός, τὸ ἀγαθὸν εἶ τὸ αὐτάγαθον ὑπάρχεις,
τὸ αὐτόκαλον, τὸ ὄντως ἀγαθόν, ὑφ᾽ οὗ τὰ πάντα
καὶ δι᾽ οὗ, ἐν ᾧ τὰ πάντα ἀγαθύνεται μεγάλως
καὶ καλλύνεται ὅσα περ ἀγαθά ἐστι καλά τε.
Ὁ Θεός, πρὸς ὃν ἡ πίστις εἰς λατρείαν διεγείρει,
ἡ ἐλπὶς ἀναπτεροῖ δὲ καὶ συνάπτει ἡ ἀγάπη·
Ὁ Θεός, ὁ ἐπιτάσσων Σὲ αἰτεῖν, καὶ ἀνευρίσκειν
Σὺ ποιῶν τοὺς Σὲ ζητοῦντας. Ὁ κελεύων πᾶσι
καὶ τῷ κρούοντι ἀνοίγων. [κρούειν
Ὁ Θεός, τὸ ἀποστρέφειν ἀπὸ Σοῦ τοῦτ᾽ ἔστι πίπτειν·

καὶ πρός Σὲ τὸ ἐπιστρέφειν ἐπανίστασθαι τοῦτ᾽ ἔστιν.
ἐν ᾧ τὸ ἐνδιαμένειν τὸ στηρίζεσθαι ὑπάρχει.
Ὁ Θεός, ὃν οὐδαμῶς τις ἀποβάλλει πλὴν ἐκ πλάνης·
οὐδ᾽ ἐπιζητεῖ ποτέ τις, εἰμὴ ὁ νουθετηθείς Σοι·
καὶ οὐδείς Σε ἀνευρίσκει εἰμὴ ὁ καθηγνισμένος·
ὁ Θεός, ὃν τὸ εἰδέναι ἐστὶ ζῆν, ᾧ τὸ δουλεύειν
ἐστὶ τὸ συμβασιλεύειν· ὃν αἰνεῖν δὲ σωτηρία
ἀγαλλίασίς τε πέλει τῆς ψυχῆς καὶ εὐφροσύνη.
Σὲ νῦν ἀνυμνῶ, Θεέ μου, χείλεσί τε καὶ καρδίᾳ
καὶ ἐξ ὅλης τῆς ἰσχύος πάσης τε δυνάμεώς μου
εὐλογῶ καὶ προσκυνῶ Σε καὶ τῇ ἀγαθότητί Σου
ὑπὲρ τῶν ἀναριθμήτων, Κύριε, εὐποιϊῶν Σου
τὴν θερμὴν εὐχαριστίαν ὁλοψύχως Σοι προσάγω
καὶ τὸν αἶνόν Σοι προσᾴδω τὸν τῆς Σῆς δοξολογίας,
τὸν Τρισάγιόν Σου αἶνον ἅγιος, ἅγιος εἶ Σύ,
[ἅγιος εἶ ὁ Θεός μου.
Ἐπικαλοῦμαί Σε, Τριὰς Ἁγία Μακαρία τε,
ἵνα με προσεγγίσασα ναὸν μὲ δείξῃς Δόξης Σου
ἄξιόν εἰς κατοίκισιν.
Καθικετεύω τὸν Θεὸν Πατέρα διὰ τοῦ Υἱοῦ,
διὰ Πατρὸς δὲ τὸν Υἱὸν καθικετεύω καὶ Θεόν,
καὶ σὺν Πατρί τε καὶ Υἱῷ τὸ Πνεῦμα τὸ παράκλητον
καθικετεύω ἐκ ψυχῆς· καθάπερ οὖν καὶ τὸν Υἱὸν
καὶ τὸν Πατέρα διὰ τοῦ ἁγίου καὶ ζωαρχικοῦ
καθικετεύω Πνεύματος, ὅπως ἀπείη ἀπ᾽ ἐμοῦ
ὡς πορρωτάτω ἅπασα φαυλότης ἁμαρτίας μέν,
ἅπαν δὲ εἶδος ἀρετῆς ἁγίας μοὶ ἐμφυτευθῇ.
ᾯ ὁ Θεὸς οὗ ἄπειρός ἐστιν ἡ θεία δύναμις,

ὑφ᾽ οὗ τὰ πάντα καὶ δι᾽ οὗ, ἐν ᾧ τὰ πάντ᾽ ἐγένετο,
ἀόρατα καὶ ὁρατά· · ὃς περιέχεις ἔξωθεν
τὰ δημιουργηθέντα μέν, ἔσωθεν δὲ πληροῖς αὐτά,
ἄνωθεν διεξάγεις δέ, κάτωθεν δὲ κινεῖς αὐτά.
Φύλαξον ὄντα με, Θεέ, ἔργον χειρῶν Σου, ἀγαθέ,
τὸν πεποιθότα ἐπὶ Σέ, ἐπιθαρροῦντα δὲ τῷ Σῷ
μόνῳ ἐλέει, Κύριε. Ὦ φύλαξόν με, δέομαι,
ἐνταῦθα καὶ ἁπανταχοῦ νῦν καὶ ἀεὶ με φύλαττε.
καὶ ἔσωθεν καὶ ἔξωθεν, καὶ ἔμπροσθεν καὶ ὄπισθεν
κυκλόθεν καὶ ἁπάντοθεν, ὡς μηδεμίαν χώραν μοι
τοῖς πολεμίοις πώποτε ὑπανεῷχθαι, Κύριε,
τοῖς ἐνεδρεύουσιν ἐμοί.

—

Σὺ εἶ ὁ πανσθενὴς Θεός, Θεὸς ὁ ὑπερασπιστὴς
καὶ φύλαξ τῶν ἁπάντων εἶ τῶν ἐλπιζόντων ἐπὶ Σοί·
οὗ ἄνευ οὔ τις ἵσταται ἐν ἀσφαλείᾳ, οὐδέ τις
κινδύνων τε ἀπήλλακται. Σὺ ὁ Θεός, καὶ Σοῦ δὲ πλὴν
Θεὸς οὐκ ἔστιν ἕτερος· οὔτ᾽ ἄνω ἐν τῷ Οὐρανῷ,
οὔτε τε κάτω ἐπὶ γῆς. Σὺ ὁ ποιῶν μεγάλα τε,
καὶ θαυμαστά, ἐξαίσια, ὅλως ἀνεξιχνίαστα,
ὧν περ οὐκ ἔστιν ἀριθμός. Σοὶ πρέπει αἶνος, Κύριε,
Σοὶ πρέπει ὕμνος τῷ Θεῷ, Σοὶ δόξα πρέπει ἐς ἀεί,
Σοὶ Ἄγγελοι καὶ Οὐρανοί, δυνάμεις τε τῶν Οὐρανῶν
ὑμνολογοῦσιν ἅπασαι καὶ Σοὶ ἀκαταπαύστως τε
τὴν δόξαν ἀναπέμπουσιν, ὡς κτίσματα τῷ Κτίσαντι,
ὡς δοῦλοι τῷ Δεσπόζοντι καὶ ὥσπερ στρατιῶται δὲ
τῷ μόνῳ Βασιλεύοντι.
Σὲ τὴν ἀπερινόητον τὴν μίαν ἀδιαίρετον

Τριάδα κτίστις σύμπασα γεραίρει μεγαλύνει τε
καὶ ἅπαν πνεῦμα εὐλαβῶς ὑμνεῖ Σε καὶ δοξολογεῖ.

ΚΕΦΑΛΑΙΟΝ ΛΒ'

Αἶνος Ἀγγέλων τε καὶ ἀνθρώπων.

Σοὶ δόξαν καὶ προσκύνησιν οἱ ὅσιοι οἱ ἐν τῇ γῇ
καὶ τῇ καρδίᾳ ταπεινοί, καὶ Σοὶ τιμὴν τὰ πνεύματα
καὶ τῶν δικαίων αἱ ψυχαί, Σοὶ οἱ τῆς ἄνω λήξεως
πάντως πολιτευόμενοι, αἱ τάξεις τῶν πνευμάτων τε
τῶν μακαρίων ἅπασαι ἀπαύστως ἀναπέμποντες
θερμῶς καθικετεύουσιν.
Αἰνοῦσι, Κύριε, ἀεὶ ἐν Οὐρανῷ καὶ ἐπὶ γῆς
τὸ πάντιμον Σου ὄνομα τὸ ὄντως μεγαλοπρεπὲς
πάντες οἱ ὑπερκόσμιοι πολῖται οἱ μακάριοι.
Ὑμνεῖ Σὲ καὶ ὁ ἄνθρωπος ἡ ἄπολις ἀπόμοιρα
τῆς δημιουργηθείσης Σοι ὑπερθαυμάστου κτίσεως.
Ἀλλὰ κἀγώ σε ἐξυμνεῖν ὢν τὸ πολυαμάρτητον
καὶ σφόδρα Σέ με ἀγαπᾶν ἐπιποθῶ καὶ ἔραμαι.
Ὁ Θεός μου, ἡ ζωή μου, ἡ ἰσχὺς ἡ αἴνεσίς μου,
ἄξιον δὴ ποίησόν με τοῦ αἰνεῖν καὶ σὲ δοξάζειν.
φῶς παράσχου τῇ καρδίᾳ, λόγον δὲ τῷ στόματί μου,
ὅπως ἂν ἡ μὲν καρδία Σοῦ τὴν δόξαν μελετῴη,
ᾄδουσα δέ μου ἡ γλῶσσα Σοῦ τὸν ἔπαινον τὴν ὅλην
διεξέρχεται ἡμέραν.

Ἀλλ' ἐπειδὴ οὐχὶ καλός ἐστιν ὁ αἶνος τοῦ Θεοῦ
ἐν στόματι ἁμαρτωλοῦ, ἐπεὶ δὲ ἄνθρωπος ἐγὼ
χείλη ἔχων ἀκάθαρτα, δέομαι Σοῦ καθάρισον,
Θεέ μου, τὴν καρδίαν μου ἀπὸ παντὸς τοῦ μολυσμοῦ.
ἁγίασόν μου τὴν ψυχὴν ὁ μόνος ὢν ἁγιαστὴς
καὶ ἔσωθεν καὶ ἔξωθεν, καὶ ἄξιόν με ποίησον
τοῦ Σὲ αἰνεῖν καὶ ἀνυμνεῖν.
Πρόσδεξαι τοίνυν εὐμενῶς καὶ εὐαρέστως ἐκ χειρὸς
καρδίας ἤδη τῆς ἐμῆς καὶ ἐξ ἀγάπης τῆς πρὸς Σὲ
τῆς ἐν τῇ διανοίᾳ μου, πρόσδεξαι τὴν θυσίαν δὴ
ταύτην τὴν τῶν χειλέων μου, γενέσθω δὲ εὐπρόσδε-
ἐνώπιόν Σου, Κύριε, καὶ ἀναβήτω δὴ πρός Σέ, [κτος
ὥσπερ εὐώδης τις ὀσμή· τὸ ἔχειν με ἐπίμνησιν
τῆς ἁγιότητος τῆς Σῆς, καὶ ἀπολαύειν τῆς ἐν σοὶ
γλυκύτητος καὶ χαρμονῆς τῆς μακαρίας, Κύριε,
προκατασχέτω, δέομαι, αὐτὰ τὴν ὅλην μου ψυχήν,
ἐναρπασάτω ταύτην δὲ πρὸς πόθον τε ἐξαίρουσα
τῶν ἀοράτων ἐς ἀεί· ἡ δὲ ἐμὴ διάνοια
μεταβαινέτω πάντοτε ἀπὸ τῶν ὁρωμένων μοι
ἐπὶ τὰ μὴ ὁρώμενα, ἀπὸ τῶν ἐπιγείων τε
ἐπὶ τὰ ἐπουράνια, καὶ ἀπὸ τῶν προσκαίρων δὲ
ἐπί γε τὰ αἰώνια. Ὢ μεταβήτω πρὸς αὐτὰ
καὶ θεασάσθω νοερῶς θέαν αὔτη ἐξαίσιον!

Αἰώνιος ἀλήθεια, ἀγάπη τε παναληθής,
αἰωνιότης θεία δὲ ἐμοὶ ὑπεραγάπητος!
Σὺ εἶ ὁ πλάσας με Θεός· πρὸς σὲ στενάζω διαρκῶς
ἡμέρας ὅλης καὶ νυκτός· πρὸς Σέ τε κέχηνα ἐγὼ

πρὸς Σὲ δὲ ἀνατείνομαι, ὡς λίαν γὰρ ἱμείρομαι
καὶ ἐφικέσθαι με πρὸς Σέ. Ὅς ἂν Σὲ γνοίη, Κύριε,
ἐπέγνω τὴν ἀλήθειαν καὶ τὴν αἰωνιότητα·
ἡ ὑπεριδρυμένη ὑπὲρ ἅπαντα ἀλήθεια
Σὺ εἶ αὐτὸς ὁ Κύριος.

Σὲ δὲ ἡμεῖς ὀψόμεθα καθάπερ εἶ ἐν Οὐρανοῖς,
ὁπόταν ἡ ἐπίκηρος καὶ ἡ τυφλὴ αὕτη ζωὴ
παρέλθῃ, ἐν ᾗ λέγεται ἡμῖν: «Ποῦ ἐστιν ὁ Θεός;»
Αὐτὸς δ᾽ἐγὼ λέγω νυνί· «Ποῦ ὁ Θεός μου εἶ, ποῦ εἶ;»
Ἐν Σοὶ δὲ ἀναπνέω τι βραχὺ ἐν ᾧ ἐκχέω μου
πρός Σέ, Θεέ μου, τὴν ψυχὴν καὶ ἀνακράζω ἐν φωνῇ
πολλῆς ἀγαλλιάσεως καὶ ἐξομολογήσεως
ἤχου τοῦ ἑορτάζοντος καὶ ἑστιῶντος. Ἀλλὰ γὰρ
πάλιν περίλυπός ἐστιν ἡ τάλαινα ἐμὴ ψυχή,
ἐπεὶ παρολισθαίνουσα καὶ μεταπίπτει πάντοτε
καὶ ἄβυσσος καθίσταται, μᾶλλον δὲ ἐπαισθάνεται
οὔσης ἀβύσσου ἑαυτῆς· ἡ δέ γε πίστις ἡ ἐμή,
ἥν μου ἀνῆψας, Κύριε, πρὸ τῶν ποδῶν ὡς ἐν νυκτὶ
λέγει αὐτῇ μου τῇ ψυχῇ,
«Ἵνα τί εἶ περίλυπος ψυχή; εἰπέ μοι, ἵνα τὶ
τοσοῦτον συνταράσσεις με; ἔλπισον ἐπὶ τὸν Θεόν:
λύχνος ἐστί μου τοῖς ποσὶ τὸ ῥῆμα τοῦ Κυρίου μου.»
Ἔλπισον δὴ ὑπόμεινον, ἕως παρατραπείη ἂν
ἡ νὺξ ποτε προκόψασα ἡ τῶν κακῶν γενέτειρα
τῶν ἀνομούντων πάντων τε· ἕως ἂν ἡ ὀργὴ Θεοῦ
παρέλθῃ ἀπολήξασα, ἧς ἦμεν τέκνα τέ ποτε·
(Ἔσθ᾽ὅτε γὰρ ἦμεν αὐτοὶ σκοτία πρὸ τῆς πίστεως)·
Ἕως ἂν παραρρεύσῃ ποθ᾽ ἡ τῶν ὑδάτων πλημμυρίς,

ἔτι μικρὸν τὰ λείψανα τοῦ βίου ἐπισύρωμεν
ἐν τούτῳ δὴ τῷ σώματι τῷ νεκρωθέντι ἐντελῶς
τῷ πλήθει τῶν ἁμαρτιῶν.
Ἕως ἡμέρα φωτισμοῦ αὐγάσῃ ἀνατέλλουσα
καὶ αἱ σκιαὶ παρέλθωσιν ἔλπισον ἐπὶ Κύριον·
καὶ τὸ πρωΐ παρέσομαι καὶ πνεύματι θεάσομαι
καὶ ἐξομολογήσομαι αὐτῷ ἀεὶ ἀπὸ ψυχῆς·
πρωί τε παραστήσομαι καὶ ὄψομαι τὸ πρόσωπον
Θεοῦμου τὸ σωτήριον, ὅστις τὰ σώματα ἡμῶν ζωο-
[ποιήσει τὰ θνητὰ
διὰ τοῦ πνεύματος αὐτοῦ τοῦ ἐνοικοῦντος ἐν ἡμῖν,
ὡς εἶναι ἄρτι φῶς ἡμᾶς, ὅτε δὴ ἐν ἐλπίδι γε
τὴν σωτηρίαν εὕρομεν καὶ τοῦ φωτὸς υἱοί ἐσμεν,
υἱοὶ ἡμέρας φωταυγοῦς, οὐχὶ τοῦ σκότους τῆς νυκτός.
Ἦμεν γὰρ σκότους καὶ ἡμεῖς υἱοί ποτε, ἀλλὰ νυνὶ
φωτός ἐσμεν καὶ φῶς ἐν Σοὶ, Κύριε ὁ Θεὸς ἡμῶν·
παρ᾽ ὅσον διὰ πίστεως ἔτι τὸ φῶς γινώσκομεν,
ἀλλ᾽ οὔπω εἴδει βλέπομεν· ἡ ὁρωμένη γὰρ ἐλπὶς
οὐκ ἔστι πώποτε ἐλπίς.

—

Αἰνοῦσί σε οἱ δῆμοί σου, Κύριε, οἱ ἀθάνατοι,
ἐκεῖνοι τῶν ἀγγέλων σου καὶ τοὔνομα δοξάζουσι
Δυνάμεις αἱ Οὐράνιε, αἱ μηδὲ τὴν γραφὴν ἡμῶν
ταύτην διέρχεσθαι ποσῶς χρῄζουσ᾽ ἵν ἐπιγνῶσι σὲ
τὴν μίαν τρισαγίαν τε Τριάδα ἀδιαίρετον.
Τὸ σὸν γὰρ πρόσωπον ἀεὶ αὗται ἐνατενίζουσι
κἀκεῖ ἀναγινώσκουσιν ἄνευ τοῦ χρόνου συλλαβῶν,
ὁποῖόν σου τὸ θέλημα τὸ ἀπ᾽αἰῶνος πέφυκεν·

αὗται ἀναγινώσκουσιν, αἱροῦνται καὶ ἐρῶσί τε·
καὶ ἀναγινωσκούσας δὲ ἀεὶ εἰς τὸ διηνεκὲς
οὐδέποτε παροίχεται ἐκ μνήμης τὸ ἀναγνωσθέν·
αἱρούμεναι ἐρῶσαί τε αὐτὴν ἀναγινώσκουσιν
τὴν ἀτρεψίαν τῆς βουλῆς καὶ οὐ κλεισθήσεται αὐτῶν
ὁ κῶδιξ τῶν κριμάτων σου, οὐδέ τε συμπτυχθή-
[σεται
αὐτῶν ἡ βίβλος· Σὺ γὰρ εἶ τοῦτο αὐτὸ βίβλος αὐταῖς·
καὶ ἔσῃ εἰς αἰῶνά τε. Ὡς ἀληθῶς μακάρταται
αὗταί εἰσι τῶν Οὐρανῶν Δυνάμεις αἱ ὑπέρταται,
αἷς ἔπεστι ἁγνότατα καὶ καθαρώτατα αἰνεῖν
μετὰ ἀγαλλιάσεως ὑπερβαλλούσης ἐς ἀεὶ
ἀρρήτου καὶ ὑπερφυοῦς. Ἐκεῖθεν γὰρ αἶνος αὐταῖς,
ὅθεν ἡ ἀγαλλίασις, ἅτε ὁρώσαις τὸν Θεὸν
ἀδιαλείπτως, ὅθεν ἂν ἀγαλλιᾶσθαι ἔχοιεν
αἰνεῖν τε τὸν Οὐράνιον.

—

Ἡμεῖς δὲ οἱ τοῦ σώματος τῷ βάρει πιεζόμενοι,
οἱ πόρρω τοῦ προσώπου σου κατὰ τὴν τῇδε βιοτὴν
ὡσπερεὶ παρεπίδημοι ἠλάσκοντες βιώσκομεν
κἂν ταύταις ταῖς περιτροπαῖς τοῦ κόσμου συνεχόμεθα
καὶ περισπώμεθα ἀεί, ἀξίως Σε ὑμνολογεῖν
Θεὲ ἡμεῖς οὐκ ἔχομεν· αἰνοῦμεν δ' οὖν ὅμως χἠμεῖς
αὐτοὶ διὰ τῆς πίστεως, ἀλλ' οὐκ ἐν εἴδει· τὰ γὲ μὴν
πνεύματα τὰ ἀγγελικὰ ἐν εἴδει ἀνυμνοῦσί Σε,
οὔκουν ἐκ πίστεως αὐτά. Τουτὶ γὰρ προμνηστεύεται
ἡμῖν ἡ σὰρξ τό Σε αἰνεῖν ἡμᾶς μακρὰν καὶ εὐλογεῖν
ἄλλως ἢ ὡς τὰ πνεύματα· καίτοι γε διαφόρως Σε

αἰνοῦμεν, ἀλλ' εἷς Θεὸς εἶ Σὺ ὁ τῶν πάντων ποιητής·
ᾧ περ ἐν Οὐρανῷ ἀεὶ καὶ ἐπὶ γῆς προσάγεται
θυσία τῆς αἰνέσεως.
Ἀλλ' ἀφιξόμεθά ποτε ἡμεῖς τε, ὁ Θεὸς ἡμῶν,
χάριτι τοῦ ἐλέους σου ἐπὶ τὴν σὺν ἐκείνοις τε
συγκλήρωσιν, καὶ μετ' αὐτῶν ἀεὶ Σε ἐποψόμεθα
καὶ ἐς ἀεὶ αἰνέσομεν. Ἀλλὰ παράσχου μοι, Θεέ,
ὅπως ἄν, καὶ ἐν ὅσῳ ζῶ καὶ τῷδε σύνειμι ἐγὼ
τῷ ἐπικήρῳ σώματι, ὑμνῇ σε ἡ καρδία μου,
αἰνῇ Σέ τε ἡ γλῶσσά μου καὶ τὰ ὀστᾶ μου ἅπαντα
βοῶντα ἀνακράζῃ Σοι· Κύριε, τίς Σοι ὅμοιος;
Σὺ παντοκράτωρ εἶ Θεός, ὑπάρχεις ὃν ὑπέρτατον
Τριαδικὸν προσώποις μέν, τῇ φύσει δὲ Μοναδικόν,
ὃν προσκυνοῦμεν εὐλαβῶς καὶ εὐσεβῶς λατρεύομεν,
Πατέρα τὸν ἀγέννητον, τὸν γεννηθέντα τε Υἱόν,
καὶ Πνεῦμα τὸ πανάγιον τὸ ἀιδίως ἐκ πατρὸς
ἐκπορευόμενον καὶ ἐν Υἱῷ ἀναπαυόμενον
τὸν ἐκ μὴ ὄντων πανσθενῶς ἡμᾶς δημιουργήσαντα,
διὰ κακίαν δὲ ἡμῶν ἀπολωλότας, Κύριε,
τῷ Σῷ ἐλέει καὶ τῇ σῇ φιλανθρωπίᾳ τῇ πολλῇ
αὖθις ἀνακτησάμενον. Μὴ καταλίπῃς δὴ ἡμᾶς,
δεόμεθά σου, Κύριε, ὡς ἀναξίους Οἰκτιρμῶν
ὀφθῆναι πρὸς τὸ ἄπειρον πλῆθος τῶν εὐεργεσιῶν
τῶν γενομένων πρὸς ἡμᾶς ὑπὸ τῆς σῆς, φιλάνθρωπε,
ἀφάτου ἀγαθότητος. Δεόμεθά σου, Κύριε
λίαν θερμῶς καὶ λιπαρῶς ἀντιβολοῦμέν σου ἡμεῖς
καὶ Σε καθικετεύομεν.
Σὺ τὴν πρὸς Σὲ πίστιν ἡμῶν ἐπευδοκήσας αὔξησον,

καὶ τὴν ἐλπίδα τὴν πρὸς Σὲ συγκαταβαίνων αὔξησον,
καὶ τὴν ἀγάπην τὴν πρὸς Σὲ Σὺ Κύριε ἐπαύξησον.

—

Διὰ τῆς χάριτος τῆς σῆς τῆς πρὸς ἡμᾶς Σὺ ποίησον
ἐν μὲν τῇ πίστει ἐς ἀεὶ ἐστηριγμένους ἵστασθαι,
ἐν δὲ ταῖς πράξεσιν ἡμῶν εἶναι ἡμᾶς τε ἐνεργοὺς
καὶ δραστηρίους πάντοτε, ἵνα διά τε τῆς ὀρθῆς
καὶ ἀειφώτου πίστεως καὶ διὰ τῶν τῆς πίστεως
ἀξίων ἔργων ἀγαθῶν τῶν συμπαρομαρτούντων δή,
Σοῦ ἐλεοῦντος, Κύριε, ἥξωμεν εἰς αἰώνιον
ζωὴν τὴν ἀτελεύτητον.
Ἔνθα δὴ κατοπτεύοντες τὴν δόξαν Σου τὴν ἄφατον,
ὥσπερ ἐστὶ τοῖς ὀφθαλμοῖς,λατρεύωμεν τῇ σῇ, Θεέ,
μεγαλωσύνῃ ἐν χαρᾷ παραπλησίως, Κύριε,
τοῖς μακαρίοις, οὕς περ Σὺ γενέσθαι κατηξίωσας
τῆς θείας δόξης θεωρούς,αὐτοί τε λέγειν ἔχωμεν·
Δόξα Σοι τῷ Θεῷ πατρὶ τῷ καὶ ἡμᾶς ποιήσαντι·
Δόξα Σοι τῷ Θεῷ Υἱῷ τῷ διασώσαντι ἡμᾶς
καὶ τῷ ἰδίῳ αἵματι ἡμᾶς ἐξαγοράσαντι·
Δόξα σοι τῷ Θεῷ ἡμῶν τῷ παναγίῳ Πνεύματι
τῷ ἁγιάσαντι ἡμᾶς. Τῇ ἐν ὑψίστοις δόξα σοι
Τριάδι τῇ τρισσολαμπῇ μιᾷ τε καὶ ζωαρχικῇ,
ἁγίᾳ ἀδιαιρέτῳ τε, ὁμοουσίῳ φύσει τε·
ἧς πέλουσιν τὰ θαυμαστὰ ἔργα ἀδιαχώριστα
τὸ κράτος τε αἰώνιον. Σοὶ πρέπει αἶνος ὁ Θεός,
Σοὶ πρέπει ὕμνος, Κύριε, Σοὶ δόξα πρέπει, Σοὶ τιμὴ
πᾶσά τε καὶ προσκύνησις καὶ εὐλογία ἐς ἀεί,
εὐχαριστία τε πολλὴ τῷ πανσθενεῖ δημιουργῷ,

παντοδυνάμῳ δὲ Θεῷ ἡμῶν καὶ πάσης κτίσεως
εἰς τοὺς αἰῶνας ἅπαντας. Ἀμήν.

—

ΚΕΦΑΛΑΙΟΝ ΛΓ΄

Ἐνταῦθα ὁ ἄνθρωπος ποτνιᾶται διὰ τὸ μὴ κατανύγεσθαι ἐν τῷ διὰ προσευχῆς Θεῷ ἐντυγχάνειν,ὁπότε δὴ καὶ αὐτοὶ οἱ Ἄγγελοι καθορῶντες τὸν Θεὸν τρέμουσιν.

—

Ἄνες, Πανάγαθε, ἄφες,ἄφες καὶ ἐλέησόν με!
φεῖσαι τῆς ἐμῆς ἀνοίας καὶ τῆς ἀθλιότητός μου!
μὴ ὡς θρασὺν τὸν σὸν δοῦλον,Θεέ,ἀποδοκιμάσῃς
τὸν πονηρὸν καὶ ἀχρεῖον, ὅτι τολμῶ τὸν Θεόν μου
τὸν φοβερὸν καὶ φρικώδη ἄνευ κατανενυγμένης
καὶ ἄνευ συντετριμμένης καρδίας καὶ προχεούσης
πηγὰς δακρύων βλυζούσας, ἄνευ τῆς ὀφειλομένης
πρός Σέ, Θεέ, εὐλαβείας καὶ ἄνευ τρόμου αἰνεῖν σε
προάγομαι, πλαστουργέ μου,
Εἰ γὰρ οἱ Ἄγγελοι πάντες τρέμουσί Σε προσκυνοῦν-
καὶ συνεχόμενοι δέει πολλῷ δὲ ὑμνολογοῦσι [τες
καί τοι γε ἔμπλεοι ὄντες ἀγαλλιάσεως θείας,
πῶς ὁ πολλὰ ἁμαρτήσας οὐ καταπτήσσω ὁ τάλας
καὶ παριστάμενος ὕμνον προσάγω σοι εἰς λατρείαν
αἰνέσεώς τε θυσίαν;
Ἵνα τί οὐ δέδοικά Σε; οὐκ ὠχριῶ; οὐχὶ τρέμω;

οὐ φρίττω τῷ σώματί μου; οὐ κλαίω ἐνώπιόν σου δακρυρροῶν ἄπαυστά Σοι; Ἐθέλω δέσποτα πάντων, ἐθέλω μὲν, ἀλλ' οὐκ ἔχω· οὐ γὰρ οὗ περ ἐφίεμαι τοῦτο καὶ δύναμαι Σῶτερ, ἐξ οὗ μοι σφόδρα θαυμάκατ' ἐμαυτὸν ἔπεισί πως, ἐν ᾧ ἐπιδέρκομαί Σε [ζειν τοῖς ὀφθαλμοῖς τὸν Θεόν μου τοῖς ἐκ τῆς πίστεως Σῶ-
Ἀλλὰ τίς ποτε καὶ τοῦτο ἰσχύει μὴ συνεργούσης [τερ καὶ μὴ συνεπαρηγούσης τῆς χάριτός σου τῆς θείας; ἡ γὰρ ἡμῶν σωτηρία μέγα σὸν ἔλεός ἐστιν.
Οἴμοι ἐμοὶ τῷ ἀθλίῳ, πῶς οὕτως ἄφρων κατέστη ἀνάλγητος τε καθ' ὅλου ἡ νεκρωθεῖσα ψυχή μου, ὡς μὴ συνέχεσθαι φόβῳ. ὁπόταν παρισταμένη ἐνώπιον τοῦ Κυρίου διέρχηται τὰς αἰνέσεις Αὐτῷ ἐπᾴδουσα ταύτας;

Φεῦ ἐμοὶ τῷ παναθλίῳ! πῶς κατεσκλήρυται, οἴμοι! ἡ ἄτεγκτός μου καρδία; πῶς οὐ πηγὰς τῶν δακρύων προχέουσιν ἀενάως οἱ ἀδάκρυς ὀφθαλμοί μου, ὅταν ὁ δοῦλος Δεσπότῃ τῷ ἑαυτοῦ ἐντυγχάνῃ διαλεγόμενος, οἴμοι! Ὁ ἄνθρωπος τῷ ὑψίστῳ, τὸ κτίσμα τῷ παντουργέτῃ, ὁ ἐκ πηλοῦ τῷ τὰ πάντα ἐκ μηδενὸς εἰς τὸ εἶναι τῷ λόγῳ παραγαγόντι;
Ἰδού, Σὺ Κύριε πάντων, θοῦ με κατενώπιόν σου καὶ ὅ,τι ἐν ἀπορρήτοις περὶ ἐμοῦ ἐντυγχάνω φρονῶν, ὡσὶν οὐ σιγήσω ἀδελφικοῖς ἐξαγγέλλων.
Ὁ πλούσιος ἐν ἐλέει καὶ οἰκτιρμοῖς Αὐτὸς πέλων καὶ δαψιλὴς χορηγήτωρ ἐν πάσῃ ἀνταποδόσει παράσχου μοι, ἱκετεύω, Θεέ, ἐκ τῶν ἀγαθῶν σου, ἵν ἐξ αὐτῶν σοὶ δουλεύσω· οὐ γάρ ποθεν ἄλλοθέν πως δυνάμεθά σοι δουλεύειν, οὔτε τε εὐαρεστεῖν σοι, εἰμὴ ἐξ ὧν ἂν αὐτός Σὺ ἡμῖν ἐπιχορηγήσαις.

—

Καθήλωσον, δέομαί σου, τὰς σάρκας μου τῷ Σῷ φόβῳ καὶ εὐφρανθήτω φοβεῖσθαι τὸ ἅγιον ὄνομά Σου ἡ ἄστατός μου καρδία.
Ὤφελεν, ὦ Κύριέ μου, ἡ παναθλία ψυχή μου οὕτω πως διατελείῃ σὲ φοβουμένη, καθάπερ ὁ ἅγιος, ναί, ἐκεῖνος ὁ εἰρηκὼς ὅτι πάντα Σὲ τὸν Θεὸν ἐφοβεῖτο, ὡς τὰ ἐκ τῆς τρικυμίας κύματα τὰ ἐφορμῶντα.

—

Ἀλλ' ὦ τῶν ἀγαθῶν Θεὸς, ὁ παροχεὺς τῶν ἀγαθῶν, δίδου μοι αὖθις, δέομαι, πηγὰς δακρύων μεταξὺ τῶν πρός Σε ὑμνολογιῶν προχέειν ἐν ἁγνότητι καρδίας, καὶ εὐθύτητι καὶ ἐν ἀγαλλιάσει τε πνεύματος, ὅπως ἀγαπῶν σε ἐντελῶς καὶ ἀνυμνῶν ἀξίως, ὅσον ἔνεστι, συναισθανθείην ἐν αὐτῇ τῇ ὑπερῴᾳ τῆς ψυχῆς, γευθείην, ἐπιγνοίην τε ὅτι γλυκὺς Σὺ καὶ χρηστὸς ὑπάρχεις ὁ Θεὸς ἡμῶν, ὡς γέγραπται ἐν τοῖς ψαλμοῖς.
«Γεύσασθε δὴ καὶ ἴδετε ὅτι χρηστὸς ὁ Κύριος.
Μακάριος ἀνὴρ ἐστιν ὅστις ἐλπίζει ἐπ' αὐτόν.
Μακάριός τε ὁ λαὸς ὁ ἐπιγνοὺς ἀλαλαγμόν.
Μακάριος ἀνὴρ ἐστιν ᾧ παρὰ Σοὶ ἀντίληψις·
ἐν τῇ καρδίᾳ ἑαυτοῦ διαβαθμίδας ἔθετο,
εἰς τὴν κοιλάδα τῶν κλαυθμῶν, εἰς τόπον ὃν διέθετο·
μακάριοι οἱ εὐσεβεῖς καὶ τῇ καρδίᾳ καθαροί,

ὅτι αὐτοὶ ἐν Οὐρανοῖς ὄψονται τὸν Θεὸν αὐτῶν.
Μακάριοι παναληθῶς οἱ ἐνοικοῦντες, Κύριε,
ἐν Οἴκῳ τῷ ἁγίῳ σου, εἰς τοὺς αἰῶνας ἅπαντας
αἰνέσουσί σε ἐν χαρᾷ.

ΚΕΦΑΛΑΙΟΝ ΛΔ΄

Δέησις πρὸς εὐλάβειάν τε καὶ θείαν ἀγάπησιν οὐ μικρὰν ἐνάγουσα.

Ἰησοῦ μου λυτρωτά μου, σὺ εἶ ἡ ἐξαγορά μου,
Σὺ ἡμῶν ἀγάπη πέλεις, Σὺ μοῦ εἶ ἐπιποθία·
ὁ ἐκ τοῦ Θεοῦ Θεός μου πάρεσό μοι, ἱκετεύω,
τῷ πτωχῷ θεράποντί Σου. Σὲ Θεὲ ἐπικαλοῦμαι
καὶ φωνῇ μεγάλῃ κράζω, ἀπὸ μέσης μου καρδίας
Σὲ ἐπιβοῶμαι Σῶτερ, εἴσελθε εἰς τὴν ψυχήν μου
καὶ σαυτῷ ἐφάρμοσον Σὺ ταύτην, ἵνα ἄνευ ρύπου
καὶ σπιλώματός τε ἔχῃς. Καὶ γὰρ τῷ καθαρωτάτῳ
ποιητῇ μου καὶ Θεῷ μου καθαρὰ ὀφείλεταί γε
καὶ ἡ οἴκησις· διό με Σὺ ἁγίασόν με τοίνυν
τὸ σὸν σκεῦος, ὁ Θεός μου, ὅ ἐποίησας χειρί Σου
καὶ ἀπὸ κακίας πάσης Σὺ αὐτὸ ἐκκένωσον δή,
ἔμπλησον τῆς χάριτός Σου.
ἔμπλεων συντήρησόν τε ταύτης, ὥστε σκήνωμά με
ἄξιον Σὺ ἀναδεῖξαι Σοῦ τοῦ θείου ποιητοῦ μου
καὶ τῆς ἐνοικήσεώς Σου, νῦν τε καὶ εἰς τοὺς αἰῶνας.

Θεέ μου εὐμενέστατε, Θεὲ ἐρασμιώτατε,
Θεὲ ἁπάντων ἥδιστε, ἁπάντων χαριέστατε,
δυνάμει πανσθενέστατε, καὶ κάλλει ποθεινότατε,
Θεὲ ὑπεραγάπητε καὶ ὑπερτιμιώτατε,
λευκοῦ παντὸς χιόνος τε καὶ γάλακτος λευκότερε,
τοῦ νέκταρος ἡδύτερε, χρυσοῦ τιμίων λίθων τε
ἁπάντων τιμιώτερε περιουσίας πάσης τε
καὶ δόξης ἀσυγκρίτως τε Θεὲ ὑπερφερέστερε.

Τί φημι, ὦ Κύριέ μου, ὁ Θεός μου ἡ ἐλπίς μου;
Σὺ τὸ μέγα ἔλεός μου, ὦ γλυκύτης μου, τί λέγω,
ὑπερευδαιμονεστάτη καὶ γε πανασφαλεστάτη;
ὤ τί λέγω ταῦτα λέγων; λέγω ὅ,τι περ ἰσχύω,
ἀλλ' οὐχ ὅπερ ἔδει λέγειν. Εἴθε ἔχοιμι τοιαῦτα
λέγειν οἷα καὶ ἐκεῖναι,
αἱ ἐν Οὐρανῷ Ἀγγέλων ἅπασαι χοροστασίαι
[αἱ ἀσίγητ' ὑμνῳδοί σου.
Ὢ...πῶς ἥδιστα ἐν ὕμνοις τοῖς πρός Σε ἐξέχεα ἂν
ὅλον ἐμαυτὸν, Θεέ μου.
Ὢ μεθ' ὅσης εὐλαβείας καὶ μεθ' ὅσου θείου πόθου
ᾄσματα τῆς μελῳδίας τῆς ἐπουρανίου 'κείνης
εἴς τε αἴνεσιν καὶ δόξαν τοῦ σεπτοῦ ὀνόματός Σου
ἑστηκὼς ἀεὶ ἐν μέσῳ τῆς ἁγίας Ἐκκλησίας
καὶ αὐτὸς ἂν ἀκαμάτως ἐξεβόησα Θεέ μου.
Ἀλλ' ἐπεὶ αὐτὸς τοιαῦτα οὐκ ἰσχύω ἐξυμνῆσαι
μή τοι σιωπήσομαί γε; φεῦ, σιγᾶν, τοῖς αἱρουμένοις
περὶ Σοῦ τοῦ λύοντος τὰ στόματα τῶν μογιλάλων,
τοῦ ἐκ στόματος νηπίων καὶ ἀκάκων θηλαζόντων

καταρτίζοντος σαυτῷ δὲ αἶνον καὶ δοξολογίαν,
φεῦ τοῖς περὶ σοῦ σιγῶσιν, ὅτι καὶ λαλίστατοί τε
οὗτοι ὄντες ἐν τοῖς λόγοις ἀφασίαν ἀσθενοῦσιν,
ἐπειδὰν τὰς ὑμνῳδίας οὐχὶ ἐξαγγέλλουσί σοι.

—

Τίς αἰνεῖν δὲ ἐπαξίως ὁ δυνάμενός ποτ᾽ ἔσται,
τοῦ Θεοῦ Πατρὸς τὴν Θείαν ἀνερμήνευτον σοφίαν
καὶ τὴν παντοδυναμίαν; Ἀλλ᾽ ἐπεὶ γὰρ οὐχ εὑρίσκω
ῥήματα τὰ σὲ τὸν πάντα καὶ ἰσχύοντα καὶ εἰδότα
ὁποσοῦν δυνάμενά σε ἱκανῶς πως ἀναπτύξαι,
τὸ καθ᾽ ὅσον δύναμαί Σε ἀνυμνήσω νῦν Θεέ μου,
ἄχρις οὗ κελεύσειάς με ὡς πρὸς Σὲ παραγενέσθαι,
ἔνθα σοι τὸ ὄντως πρέπον κἀμοὶ τὸ προσῆκον πάντως
ἔχοιμ᾽ ἂν Σοι τότε ἐκφράσαι. Διὸ καὶ ἀντιβολῶ Σε,
δέομαι καὶ ἱκετεύω μὴ δὴ πρὸς ὃ λέγω ἤδη,
Κύριε, μόνον ἐπίδοις, ἀλλὰ καὶ πρὸς ὃ Σοὶ λέγειν
νῦν ἐφίεμαι, Θεέ μου.

—

Ἐπιθυμῶ μεγάλῃ τοι σφόδρα ἐπιθυμίᾳ γὰρ
φάναι ὅ,τι προσῆκόν τε καὶ πρέπον Σοί ἐστιν εἰπεῖν.
Σοὶ πρέπει αἶνος γὰρ ἀεί, Σοὶ πρέπει ὕμνος Σοὶ τιμὴ
καὶ πᾶσά τε προσκύνησις Σοὶ ἐποφείλεται, Θεέ.
Οἶδας ὁ τῶν κρυφίων μου γνώστης ὁ πανδερκέστατος
ὅτι Σύ μοι καὶ Οὐρανοῦ καὶ γῆς καὶ πάντων τῶν
[ἐν γῇ
τῶν ὄντων τε ἐν Οὐρανοῖς εἶ προφερέστερος, Θεέ,
Σύ μοι ἐρασμιώτερος. Καὶ γάρ σε ἀγαπῶ ἐγὼ
ὑπὲρ τὸν Οὐρανὸν τὴν γῆν καὶ σύμπαντα τὰ ἐν αὐτοῖς

μᾶλλον δὲ δι᾽ ἀγάπησιν τοῦ Θείου Σου ὀνόματος,
πάντα ὅσα παρέρχεται οὐδ᾽ ὅλως κρίνω εἶναί μοι
ἀγαπητέα, Κύριε. Σὲ τὸν Θεόν μου ἀγαπῶ,
μεγάλως σὲ ἠγάπησα, καὶ ἐπὶ πλεῖον ἔτι σε
ὡς λίαν σφόδρα ἀγαπᾶν ἐπιποθῶν ἐπόθησα.

—

Δός μοι τοίνυν, Κύριέ μοι, τὸ ἀεί με ἀγαπᾶν Σε,
ὅσον θέλω καὶ ὀφείλω, ἵνα μόνος εἴῃς ὅλος
λογισμός μου μέλημά μου ὅλος τε μελέτημά μου.
Μελετῴην περὶ Σοῦ δὴ καθ᾽ ἑκάστην τε ἡμέραν
νύκτα τε καὶ νύκτωρ εἴη ἐντυγχάνον μου τὸ πνεῦμα,
γένοιτο δὲ ἡ ψυχή μου ὀαρίζουσά Σοι ὅλη·
διαυγάζοιτο αὐτὴ δὲ ἡ καρδία μού τε πάλιν
ἐν τῷ φωτισμῷ τῆς Θείας παμφαοῦς ὁράσεώς Σου,
ἵνα, Σοῦ καθοδηγοῦντος, Σοῦ τε κατευθύνοντός με,
ἐκ δυνάμεως χωροίην ἐπὶ δύναμιν προβαίνων
καὶ Σὲ τέως ἴδοιμί γε τὸν Θεὸν τὸν ἐν Τριάδι
ἐπὶ τῆς Σιὼν ἑστῶτα. Καὶ νῦν μὲν ὡς ἐν ἐσόπτρῳ
καὶ αἰνίγματι ὁρῶ Σε, τηνικαῦτα δ᾽ ὄψομαί γε
πρόσωπον πρὸς πρόσωπόν Σε, ἔνθα ἐπιγνώσομαί Σε
ὥσπερ δὴ καὶ ἐπεγνώσθην. «Ὡς Μακάριοι τελοῦσιν
οἱ τηροῦντες τὴν καρδίαν καθαράν τε καὶ ὁσίαν,
ὅτι οὗτοι ὄψονταί Σε τὸν Θεὸν τὸν ἐν Τριάδι.
Καὶ μακάριοι δὲ αὖθις, Κύριε, οἱ κατοικοῦντες
ἐν τῷ Σῷ ἁγίῳ Οἴκῳ. Κύριε, εἰς τὸν αἰῶνα
οὗτοι ἐπαινέσουσί Σε, εἰς αἰῶνας τῶν αἰώνων.»
Τοιγαροῦν Σοῦ δέομαι νῦν, Κύριε, κατὰ τὸ πλῆθος
τῶν ἀπείρων οἰκτιρμῶν Σου, ἐν οἷς ἀπὸ τοῦ θανάτου

ἀπερρύσθημεν, Σὺ Σῶτερ μάλθαξόν μου τὴν καρδίαν
τὴν σκληράν τε καὶ λιθώδη, σιδηρᾶν τε καὶ πωρώδη
διὰ τῆς μυστικωτάτης καὶ τῆς Σῆς δραστικωτάτης
Θείας ἐπιχρίσεώς σου, καί γέ με θυσίαν ζῶσαν
καὶ ἐνδελεχῆ γενέσθαι τῷ πυρὶ πυρπολουμένην
κατανύξεως τελείας ποίησον, Θεὲ τῶν ὅλων.

—

Ποίησον ἔχειν καρδίαν, ὁ Θεός, συντετριμμένην,
ἀεὶ τεταπεινωμένην Σοῦ ἐνώπιον, Θεέ μου,
καὶ κρουνοὺς θερμῶν δακρύων ἐκπηγάζουσαν ἐκ
[βάθους.

Ποίησον ἀποσβεσθῆναι τὸν ὑπάρχοντά μοι πόθον
πρὸς τὰ θέλγητρα τοῦ κόσμου καὶ ἐπιλησθῆναι
[πάντων
τῶν ταχὺ παρερχομένων, καὶ τοῦ πόθου τῷ μεγέθει
καὶ τῆς ἀγαπήσεώς Σου ἐπὶ τοῖς προσκαίροις τοῖσδε
εἶναι διακείμενόν με, ὥστ' οὐδ' ὅλως ἐπὶ τούτοις
ὀλοφύρεσθαί με, οὔτε αὖθις τούτοις ἐπιχαίρειν,
μήτε ἐγκαταπτοεῖσθαι μηδαμῶς ἐπερχομένοις·
μήτε δὲ αὐτῶν εὐθύμως, Κύριε, ἐφίεσθαι με,
μήτε δὲ ἐπιθελγόντων διαφθείρεσθαί με ὅλως,
μήτε δὲ ἀντιπιπτόντων με σαλεύεσθαι παράπαν.
Ἐπεὶ δ' ἡ ἀγάπησις Σου κραταιὰ τυγχάνει σφόδρα,
Κύριε, καταπιέτω τὴν ψυχήν μου, δέομαί Σου,
ὥσπερ θάνατος ἁρπάζων ἀπὸ πάντων ὅσα ἔστιν
ὑπὸ Οὐρανοῦ τὸν θόλον ἡ τῆς ἀγαπήσεώς Σου
δύναμις πανσθενεστάτη, ἡ μελισταγής, ἡ Θεία
καὶ διάπυρος καθ' ὅλον, ἵνα προσκολλώμενός σοι

μόνῃ, τῆς χρηστότητός σου μνήμῃ ἐνδιατρεφοίμην
τῆς ἐμοὶ ὑπερηδίστης.

—

Κύριέ μου καταβήτω, δέομαί σου, κατοβήτω
ἐπὶ τῆς ἐμῆς καρδίας ἡ ὀσμή σου ἡ γλυκίστη
καὶ ἐμοὶ ἐνσταλαχθήτω ὁ μελίρρους Θεῖος ἔρως!
ἀφιχθήτω μοι, αἰτοῦμαι, τῇ Σῇ θείᾳ ἀπογεύσει
ἡ ὑπερφυὴς ἡ θεία ἄφατός σου εὐωδία
ἐνεργοῦσά μοι ἀλήκτους ἀγαθῶν ἐπιποθίας
καὶ ἐκ τῆς ἐμῆς καρδίας φλέβας ἐκρηγνυομένη
ὕδατος ἐξαλλομένου εἰς ζωὴν τὴν αἰωνίαν.
Κύριε, ἀμέτρητος εἶ διὸ καὶ ἀγαπητέος·
ἄνευ μέτρου Σὺ ὑπάρχεις, ἀλλὰ δὴ καὶ αἰνετέος
ὑπὸ τῶν λελυτρωμένων καὶ τῶν ἐξηγορασμένων
διὰ τοῦ ἀπειροτίμου, Κύριέ μου, αἵματός Σου,
ὑπερευμενέστατέ μου ἐραστὰ σὺ τῶν ἀνθρώπων·
Δέσποτα παντελεῆμον, δικαιότατε Κριτά μου,
ᾧ τὴν κρίσιν κρῖναι κόσμον ὁ πατὴρ ἔδωκε πᾶσαν
καὶ ὅ,τι περ ἐὰν κρίνῃς τῇ σοφῇ εὐθύτητί Σου,
τὸ κριθέν Σοι ἔστι μόνον καὶ ὀρθὸν καὶ δίκαιόν τε.

—

Φεῦ! πῶς αὐτοὶ οἱ τῆς νυκτὸς τοῦ σκότους τοῦ
[αἰῶνός τε
τούτου οἱ ἄφρονες Υἱοὶ πλείονι πόθῳ καὶ σπουδῇ
πλοῦτον τὸν ἀπολλύμενον καὶ τὰς δραπέτιδας τιμὰς
φιλοῦσιν ἐκζητοῦσί τε, ἥπερ ἡμεῖς αὐτοί, Θεέ,
οἱ κατεπαγγελλόμενοι εἶναι οἱ σοὶ θεράποντες,
Σὲ τὸν Θεὸν καὶ Κύριον τελοῦμεν ἀγαπῶντές Σε,

τὸν ἐκ τοῦ μηδενὸς ἡμᾶς ποιήσαντα τὸ πρότερον,
ἑαλωκότας δὲ κακῶς ἡμᾶς ἐξαγοράσαντα ;

—

Εἰ ἄνθρωπος γὰρ ἄνθρωπον τυγχάνει οὕτω τὰ πολλὰ
φιλῶν, ὥστε, τὸν ἕτερον θατέρου μὴ ἀνέχεσθαι
ἀπεῖναι· εἰ οὕτως ποτὲ ἡ νυμφευθεῖσα τέτηκεν
νυμφίῳ γε τῷ ἑαυτῆς,ὥστε καὶ ἀναπαύσεως
μὴ ἔχειν ἀπολαύειν πως δι' ἔρωτος ἐπίτασιν,
μηδὲ τοῦ ἐρωμένου τε τὴν ἀπουσίαν δέχεσθαι
ἀνίας δίχα ἀνατλᾶν, ὁποίῳ φίλτρῳ ἄράγε,
οἵᾳ σπουδῇ, ἡλίκῃ τε ζέσει ἣν ἔχει ἡ ψυχὴ
ἥν περ διὰ τῆς πίστεως Σὺ ἐνυμφεύθης Κύριε ἀπὸ
καρδίας ἀγαπᾶν
ὀφείλει τὸν περικαλλῆ αὐτῆς Νυμφίον τὸν γλυκύν,
ὅστις ἡμᾶς ἠγάπησας τοσοῦτον, ὥσθ' ὑπὲρ ἡμῶν
καὶ σωτηρίας τῆς ἡμῶν τοσαῦτα τηλικαῦτά τε,
Κύριε, διαπράξασθαι.
Εἰ γὰρ τὰ κάτω ταῦτα δὴ ἰδίας ἔχει ἴυγγας
πρὸς ἔρωτα ἀνθρώπινον,ἀλλ'οὖν οὐκ ἐπευφραίνοντες
εἰσὶν οἱ ἔρωτες αὐτοὶ οὕτως ὡς Σύ, Θεὲ ἡμῶν,
Ἐπὶ Σοὶ γὰρ ὁ δίκαιος, Κύριε, ἐπιθέλγεται,
ὅτι ἡδεῖα τίς ἐστι Σοῦ ἡ ἀγάπη, ὁ Θεός,
ἀτάραχος εἰρηνική· ὅτι καρδίαν ἣν αὐτὸς
προκαταλάβοις,ἐμπιπλᾷς γαλήνης θυμηδίας τε·
τὰ ἐναντία τούτοις δὲ φέρει ὁ ἔρως τῆς σαρκός,
ὃς ἐστι πολυμέριμνος καὶ ταραχώδης πάντοτε
καὶ ταῖς ψυχαῖς, αἷς ἂν αὐτὸς πως ἐμφιλοχωρήσειεν,
ἥκιστα αὐταῖς καθηρεμεῖν εἰς τέλος ἐπιτρέψειε,

διηνεκέσι τύρβαις γὰρ καὶ ὑπονοίαις πάντοτε
παντοίαις τε πτοήσεσι ἐπιθροοῦσα τὰς ψυχὰς
κλονίζει τε καὶ συγκινεῖ.

—

Σὺ γὰρ εἶ ἡ εὐφροσύνη τῶν διαπορευομένων
ἐν εὐθύτητι καρδίας καὶ εἰκότως ἦ που Σὺ εἶ·
κραταιὰ ἠρέμησις γὰρ καὶ ἀθρόητος ὁ βίος
παρὰ Σοὶ Θεὲ ὑπάρχει· καὶ ὁ εἰσιὼν ὡς Σέ γε,
ὑπεράγαθε Θεέ μου,εἴσεισιν εἰς τοῦ Κυρίου
τὴν χαρὰν τὴν αἰωνίαν· καὶ οὐχ ἕξει πτοηθῆναι
περαιτέρω εἰς αἰῶνα, χώραν δ' ἐπισχὼν ἀρίστην
τότ' ἐρεῖ ἐν εὐφροσύνῃ. «Αὕτη ἡ κατάπαυσίς μου
εἰς αἰῶνα τοῦ αἰῶνος· ἐγὼ ὧδε κατοικήσω,
ὅτι αὐτὴν ᾑρετισάμην. Κύριος δέ με ποιμαίνει
καὶ οὐδέν με ὑστερήσει· καὶ εἰς τόπον Οὐρανία,
χλόης κατεσκήνωσέ με».
Χριστέ μου, Θεῖε Ἰησοῦ, γλυκύταθ' ὑπεράγαθε,
ἔμπλησον τὴν καρδίαν μου δέομαι τῆς ἀσβέστου Σου
καὶ θείας ἀγαπήσεως καὶ μνήμης τῆς ἐνδελεχοῦς,
ὥστε μὲ διαπίμπρασθαι δίκην φλογὸς τῷ γλυκασμῷ
τοῦ ἔρωτος τοῦ περὶ Σέ, ὅνπερ οὐδ' ἂν ἐπιχυθῇ
ὕδατα ἄπλετα αὐτὸν μὴ ἀποσβέσαι ἔχοιεν.
Ῥέξον,γλυκύτατ' Ἰησοῦ, ὅπως ἂν ᾧ Σε ἀγαπῶν
καὶ ἀγαπῶν ἐπιποθῶ καὶ τῇ ἐπιποθίᾳ σου
ἅπαν τὸ ἄχθος τῶν παθῶν καὶ τὸ τῶν ἐπιθυμιῶν
καὶ τῶν γηίνων πόθων μου τῶν ἄλλων τε ὀρέξεων
ἐκφορτιαθῶ καὶ ἀποθῶ, αἵ τὴν ψυχήν μου τὴν
[οἰκτρὰν

ἐπιταλαιπωροῦσί τε καὶ καταθλίβουσι δεινῶς·
ἵνα ὀπίσω σου δραμὼν εἰς τὴν ὀσμὴν τοῦ μύρου Σου
ἄχρι τοῦ καὶ τῆς ὄψεως τοῦ κάλλους ἀπολαῦσαί σου
εἰς κόρον ἐπαξιωθῶ, Σοῦ ὁδηγοῦντος Κύριε
ἐμέ, ὡς ἔνι τάχιστα
Δισσοὶ γὰρ ἔρωτός εἰσιν· ὁ μὲν τυγχάνει ἀγαθός,
φαῦλος δ᾽ ἐστὶν ὁ ἕτερος·ὁ μὲν γλυκύς, ὁ δὲ πικρός,
διὸ οὐκ ἂν χωρήσειαν στέρνῳ ἑνὶ ἀμφότεροι,
ἔνθεν τοι καὶ εἴ τίς ποτε τυγχάνει ἄλλο ἀγαπῶν
ἢ Σὲ τὸν ἀγαθὸν Θεόν, ἡ Σὴ ἀγάπη ἐν αὐτῷ
οὐκ ἔστι παραμένουσα.

—

Ὦ γλυκύτητος ἀγάπη, καὶ ἀγάπης ὢ γλυκύτης!
ὢ ἀγάπη ἡ μηδόλως τὰς καρδίας ὀδυνῶσα,
καθηδύνουσα δὲ πάντα! ὢ ἀγάπη γλυκυτάτη ἡ ἁγνῶς
[καὶ ἀκραιφνῶς τε
εἰς αἰῶνα διαρκοῦσα! ὢ ἀγάπη καιομένη
ἐς ἀεὶ ἐν τῇ καρδίᾳ μήποτ᾽ ἀποσβεννυμένη.

—

Ὦ Ἰησοῦ γλυκύτατε, Χριστέ μου ὑπεράγαθε,
Θεέ μου, ἡ ἀγάπη μου, τῷ σῷ με ἔγκαυσον πυρί,
τῇ ἀγαπήσει σου Θεὲ, τῇ Σῇ Χριστὲ ἡδύτητι καὶ
[τῇ γλυκύτητι τῇ Σῇ,
τῇ Σῇ ἀγαλλιάσει τε καὶ τῇ τερπνότητι τῇ Σῇ
τῇ σῇ ἐφέσει καὶ τρυφῇ τῇ ἱερᾷ τε καὶ χρηστῇ,
καθαρωτάτῃ καὶ ἁγνῇ, τῇ γαληνίῳ κ᾽ ἀσφαλεῖ
ὡς ἂν ὅλος ἀνάπλεως τῷ γλυκασμῷ τοῦ πόθου σου,
καὶ ὅλος πυρπολούμενος τῇ τῆς ἀγάπης Σου φλογί,

σὲ ἀγαπῴην τὸν Θεὸν ἐξ ὅλης τῆς καρδίας μου,
ἐξ ὅλων τε τῶν μυελῶν, τῶν σπλάγχνων ὅλων τῶν
καὶ οὕτως ἔχοιμι ἐγὼ Σὲ ἐπὶ τῆς καρδίας μου, [ἐμῶν
καὶ διὰ τῶν χειλέων μου καὶ πάντοτε καὶ πανταχοῦ
σὲ ἔχω πρὸ τῶν ὀφθαλμῶν, μὴ λειπομένης ἐν ἐμοὶ
χώρας ὅλως μηδεμιᾶς ταῖς νόθοις καὶ κιβδήλοις τε
τῶν ἀγαπήσεων, Χριστέ.

—

Ἐπάκουσον μου ὁ Θεὸς ἐπάκουσόν μου, δέομαι,
τῶν ὀφθαλμῶν μου Σὺ τὸ φῶς. Ἐπάκουσον μου,
[Κύριε,
τῶν μόνων μου αἰτήσεων καὶ χάρισαί μοι, ἀγαθέ,
τὸ ὑπὲρ ὧν αἰτοῦμαί Σε πάντοτε ἐπακούειν μου!
Οἰκτίρμον πολυέλεε, μὴ ἱκετεύω γένοιο
Σὺ δή μοι ἀδυσώπητος διὰ τὸ πλῆθος τῶν ἐμῶν
ἁμαρτιῶν μου Κύριε· ἀλλὰ τῆς Σῆς χρηστότητος
ἕνεκεν πρόσδεξαι ἐμοῦ τὰς ἱκεσίας, Κύριε,
καὶ δώρησαι τὴν πλήρωσιν τῶν ποθητῶν αἰτήσεων
ὑπὲρ ἐμοῦ τῆς Σῆς Μητρὸς Σοῦ δεομένης Ἰησοῦ
καὶ δυσωπούσης Σε θερμῶς καὶ πρεσβευούσης
[πάντοτε
μετὰ τῶν Ἀποστόλων σου καὶ πάντων τῶν ἁγίων
[Σου Ἀμήν.

—

ΚΕΦΑΛΑΙΟΝ ΛΕ'

Δέησις εὐλαβεστάτη σὺν ὕμνοις καὶ αἰνέσεσιν.

*Κύριε Ἰησοῦ Χριστέ, Υἱὲ καὶ Λόγε τοῦ Πατρός,
ὁ εἰς τὸν κόσμον κατελθὼν τοῦ σῶσαι γένος τῶν βρο-
Σοῦ δέομαι τὸν βίον μου οἰκτίρμον ἐπανόρθωσον [τῶν
διὰ τὰ συμπαθέστατα σπλάγχνα Σου, συμπαθέστατε,
τοὺς τρόπους μου ἀγάθυνον, τὰς πράξεις μου διεύθυ-
καὶ ἄφελε τὸ ἐν ἐμοὶ πᾶν τὸ μὲ λυμαινόμενον [νον
καὶ ἀπαρέσκον Σοι Χριστέ, καὶ μοι παράσχου Ἰησοῦ
ὃ σοὶ μὲν ἔστ' εὐάρεστον, συμφέρον οἶδας δὲ ἐμοί.
Τίς ἀναδεῖξαι δύναται ἐξ ἀκαθάρτου καθαρόν,
εἰμὴ σὺ ὁ δυνάμενος, ὁ Βασιλεὺς ὁ πανσθενής,
Θεὸς ὁ ὑπεράγαθος, ὁ τοὺς παρανομοῦντάς σοι
ὡς συμπαθὴς Σὺ δικαιῶν, καὶ τοὺς ἐξαμαρτάνοντας
καὶ νεκρουμένους ὡς Θεὸς ζωοποιῶν καὶ ἀνιστῶν,
μετασκευάζων τε αὐτούς, καὶ οὐκ εἰσὶν ἁμαρτωλοί;
Σὺ ἆρον τοίνυν ἀπ' ἐμοῦ ἅπαν τὸ ἀπαρέσκον Σοι·
τὸ πλῆθος γὰρ τῶν πολλαπλῶν Χριστὲ πλημμελημά-
ὁρῶσί σου οἱ ὀφθαλμοί. [των μου
Νῦν ἔκτεινον τὴν χεῖρά σου Θεέ μου τῆς περὶ ἐμὲ
πολλῆς ἀγαθωσύνης σου καὶ ἄφελε Σὺ ἀπ' ἐμοῦ
πᾶν τὸ τοῖς ὀφθαλμοῖς τῆς Σῆς χρηστότητος οὐκ ἀρε-
Ἐνώπιόν σου, Κύριε, πρόκειται καὶ ἡ ῥῶσίς μου [στόν.
κεῖται καὶ ἡ ἀσθένεια· ἐκείνην Σὺ συντήρησον
καὶ ταύτην σὺ ἐξίασαι.*

—

*Σὺ ἴασαί με, Κύριε, καὶ ἰαθήσομαι ἐγώ,
σῶσόν με καὶ σωθήσομαι· ὁ θεραπεύων τἀσθενῆ
τὰ τ' ἰαθέντα συντηρῶν· ὁ μόνῳ νεύματι κινῶν
ἀνασκευάζων τὰ καταρραχθέντα ἠρειπότα τε.
Ἐὰν γὰρ ἀξιώσῃς Σὺ ἐνσπεῖραι ἐν τῷ σῷ ἀγρῷ
ἐν τῇ καρδίᾳ μου αὐτῇ, ὡς σπόρον λόγον ἀγαθόν,
ἀνάγκη τὰς τῶν κακιῶν ἀκάνθας μου ἐκσπάσασθαι
ἀπὸ τῆς ῥίζης πρότερον.
Γλυκύτατ' εὐμενέστατε, Κύριε, πανευνούστατε
Χριστέ μου προσφιλέστατε, Θεέ μου ποθεινότατε,
Λόγε ἐρασμιώτατε, περικαλέστατ' Ἰησοῦ
ἐπίχεε τοῖς στέρνοις μου τὸν τοῦ ἐλέους γλυκασμόν,
ὡς ἂν μηδὲν τὸ γήϊνον μηδὲν σαρκῶδες πώποτε,
ὦ Κύριε, ἐπιθυμῶ μηδὲ διανοῶμαι κἄν,
ἀλλ' ἀγαπῴην μόνον Σέ, Σὲ μόνον ἐν καρδίᾳ μου
φέροιμι καὶ ἐν χείλεσιν!
Ἐγχάραξον δακτύλῳ σου ἐπὶ τοῦ στήθους τοῦ ἐμοῦ
τὴν μνήμην τοῦ μελισταγοῦς ὀνόματός σου Ἰησοῦ,
μηδὲ γενησομένην ποτ' ἐξίτηλον τοῦ στήθους μου.
Ἐπὶ τῶν τῆς καρδίας μου πινάκων Σὺ ἐπίγραψον
τὸ ἅγιόν σου θέλημα, τὰ Σά τε δικαιώματα,
ἵνα Σὲ τὸν γλυκύτατον Θεόν μου Ἰησοῦν Χριστὸν
καὶ τὰ ἐντάλματα τὰ σὰ ἁπανταχοῦ καὶ πάντοτε
ἔχοιμι πρὸ τῶν ὀφθαλμῶν. Σὺ ἄναψόν μου τὴν
τῷ θειοτάτῳ σου πυρὶ ἐκείνῳ ὅπερ ἔπεμψας [ψυχὴν
ἐπὶ τῆς γῆς καὶ ἥναψεν, καὶ σφόδρα ἀνακαίεσθαι
αὐτὸ ἐν γῇ ἠθέλησας, ὡς ἂν θυσίαν πνεύματος
προσάγοιμι σοι, Κύριε, ἁπάσαις ταῖς ἡμέραις μου*

ἐν κατανύξει πνεύματος καὶ ἐν καρδίᾳ ταπεινῇ
δακρύων τε θερμῶν ῥοαῖς.

—

Γλυκύτατε μου Ἰησοῦ, Χριστέ μου ὑπεράγαθε
δός μοι καθὰ ἐφίεμαι, καθάπερ ἐξαιτοῦμαί Σου
ἐξ ὅλης τῆς καρδίας μου, δώρησαί μοι τὴν περὶ Σὲ
ἀγάπην τὴν ὑπέραγνον, ἥτις ἐμπλησαμένη με
κατάσχῃ κατισχύσασα καὶ μὲ προσοικειώσηται·
σημεῖον δὲ ἀρίδηλον ταύτης, Χριστέ, παράσχου μοι
ῥοὰς δακρύων θαλερῶν, ἵνα αὐτὰ τὰ δάκρυα
καὶ τὴν τοιαύτην μου πρὸς Σὲ ἀγάπην ἐπιμαρτυρῇ,
αὐτὰ ἐμφαίνῃ καὶ αὐτὰ ἐκφράζῃ, ὅσον Σοῦ ἐρᾷ
ἡ σοῦ ἐρῶσά μου ψυχή, ἥτις διὰ ὑπερβολὴν
τοῦ ἔρωτός μου τοῦ πρὸς Σὲ οὐθ' ἑαυτὴν κατέχειν
δύναται μὴ δακρυρροεῖν. [πως
Δέσποτα πολυεύσπλαχνε, νῦν ἐπαναμιμνήσκομαι
τῆς χρηστοτάτης γυναικός, τῆς Ἄννης τῆς τοῦ Ἐλκανᾶ,
τῆς προσελθούσης τῇ σκηνῇ προσεύξασθαι ὑπὲρ υἱοῦ
ἧς πέρι λέγει ἡ Γραφὴ ὅτι μετὰ τὰ δάκρυα
καὶ τὰς δεήσεις τὰς πολλὰς τὸ πρόσωπον τὸ ἑαυτῆς
οὐκέτι πως συνέπεσεν, ἀλλ' οὐδὲ πως ἐξήγειρεν.
ἀλλὰ ἐμὲ γὰρ συνορῶ τοιαύτης τηλικαύτης τε
στερρότητος καὶ ἀρετῆς κάτω ὁ τάλας κείμενον.
Εἰ γὰρ οὕτως προσέκλαυσε καὶ κλαίουσα ἐπέμεινε
γυνὴ ζητήσασα Υἱόν, ὁπόσον ἄρα δεῖ θρηνεῖν
καὶ διατρίβειν τῷ κλαυθμῷ ὀφείλει ἡ ἐμὴ ψυχή,
Θεὸν ζητοῦσα ἀγαθὸν καὶ ἀγαπῶσα καὶ αὐτῷ
προσοικειοῦσθαι ἔχουσα διὰ πολλῆς ἐφέσεως ;

ὅπως γοᾶσθαι ἡ ψυχὴ αὕτη καὶ ὀλοφύρεσθαι
ὀφείλει ἡ τὸν ἀγαθὸν Θεὸν αἰτοῦσα ἐν φωναῖς
νύκτωρ καὶ μεθ' ἡμέραν τε καὶ πλὴν τοῦ Ἰησοῦ
ἐρᾶν ἑτέρου μηδενὸς μηδέποτε ἐθέλουσα; [Χριστοῦ
Θαῦμα δήπου ἂν εἴη τό, ἢν μὴ τὰ δάκρυα αὐτῇ
γένοιτο ἐφημερινὸς ἄρτος καὶ ἐπινύκτιος.
Ἐπίβλεψον νῦν ἐπ' ἐμέ, Κύριε, καὶ ἐλέησον
ἐπείπερ τῆς καρδίας μου αἱ θλίψεις ἐπληθύνθησαν.
παράσχου μοι τὴν γλυκεράν, Χριστέ, παραμυθίαν σου,
μηδὲ παρίδοις δέομαι τὴν ἁμαρτήμασι πολλοῖς
συνεχομένην μου ψυχήν, ὑπὲρ ἧς καὶ θανεῖν αὐτός,
Χριστέ μου, κατηξίωσας.
Δός μοι Χριστέ μου, δάκρυα Σοῦ δέομαι ἀπὸ ψυχῆς
ἔσωθεν τῆς καρδίας μου ἀεὶ ἀναποδύοντα
τὰς τῶν ἐμῶν ἁμαρτιῶν λῦσαι δυνάμενα σειρὰς
καὶ ἐμπιπλῶντα τὴν ἐμὴν ψυχὴν ἀγαλλιάσεως
τῆς Οὐρανίου διαρκῶς· ὅπως ἂν ταῖς τῶν γυναικῶν
ὁσίαις τῇ Σῇ χάριτι πηλικησοῦν συμμετασχεῖν
μερίδος ἄξιος φανῶ τῆς ἐν τῇ βασιλείᾳ σου,
εἰ τοῖς ἀκριβεστέροις μὴ καὶ τοῖς γνησίοις μοναχοῖς
ἄξιος πέλω, Κύριε,
ὧν παρακολουθῆσαί πως οὐκ ἔχω ἐν τοῖς ἴχνεσιν.

—

Ἔπεισί μοι καὶ ἑτέρας γυναικὸς παραπλησίως
ἀρετὴν διενθυμεῖσθαι, τῆς ζητούσης Σε ἐκθύμως
ἐν τῷ τάφῳ τεθειμένον, ἥτις καὶ τῶν Ἀποστόλων
τοῦ μνημείου ἀπελθόντων οὐκ ἀφίστατο ζητοῦσα,
ἀλλ' ἀπολοφυρομένη ἐπὶ πλεῖον ἐφειστήκει

παρὰ τῷ κενῷ μνημείῳ κλαίουσα ὀδυνωμένη·
εἶτα δὲ ἐξαναστᾶσα πολλοῖς περιρρεομένη
δάκρυσι, πάλιν καὶ πάλιν τὰ τοῦ κενωθέντος τύμβου
ἄντρα πολυπραγμονοῦσα ὄμμασιν ἐγρηγορόσι
διεπήρχετο σπουδαίως, εἴποθί Σε ἐπανίδοι
τὸν ζητούμενον σὺν πόθῳ·
Πάντως δήπου αὕτη ἅπαξ τε καὶ δεύτερον εἰσῄει
τὸ μνημεῖον θεωροῦσα, ἀλλ' οὖν ὑπὸ τῆς ἀγάπης
ἰσχυρῶς συνεχομένη οὐκ αὐτῇ τοσοῦτον ἤρκει·
καλὸν τὸ ἐνεπιμένειν ταῖς χρησταῖς θεματουργίαις
ἡ δέ, ὡς ἠγάπησέ σε ὑπὲρ τοὺς πολλούς, μεγάλως
ἔκλαυσέ τε ἀγαπῶσα, κλαίουσα ἐζήτησέ Σε
καὶ διέμεινε ζητοῦσα· διὰ τοῦτο αὕτη πρώτη
καὶ ἰδεῖν κατηξιώθη καὶ λαλῆσαί Σοι, Χριστέ μου.

—

Οὐ μόνον δέ, ἀλλὰ αὐτοῖς τοῖς μαθηταῖς αὕτη τῆς
ἐνδόξου ἀναστάσεως ἐδείχθη ὁ προάγγελος, [σῆς
Σοῦ Κύριε κελεύσαντος καὶ καθυποβαλόντος Σου,
»Πορεύου καὶ εἰπὲ εὐθὺς τοῖς ἀδελφοῖς μου ἀπελθεῖν
εἰς Γαλιλαίαν καὶ ἐκεῖ ἐξαναστάντα ὄψονται.»
Εἰ τοίνυν οὕτως πρὸς αὐτὴν κλαίουσαν προσεγένετο
καὶ τῷ κλαυθμῷ τῷ μνήματι αὐτὴν ἐνδιατρίβουσαν
καὶ ἐν νεκροῖς τὸν ζῶντα Σε θρήνοις ἐπιζητοῦσαν
καὶ τῇ ἐκ πίστεως χειρὶ Χριστὲ ἐφαπτομένην Σου, [Σε
πόσον ἄρα εἰκός ἐστι κλαίειν ἀεὶ καὶ τῷ κλαυθμῷ
προσεπιμένειν τὴν ψυχὴν τὴν τὸν σωτῆρα ἑαυτῆς
τὸν Κύριον καὶ λυτρωτὴν τὸν ἤδη ἐν τοῖς Οὐρανοῖς
Πατρὶ συνεδριάζοντα καὶ πάντων βασιλεύοντα

καρδίᾳ τε πιστεύουσαν καὶ καθομολογοῦσάν τε
εἰς σωτηρίαν στόματι;
Πόσον ὀφείλει ἡ ψυχὴ ἐπιγοᾶσθαι συνεχῶς
καὶ κατοδύρεσθαι σφοδρῶς ἡ ἀγαπῶσά Σε θερμῶς
ἐξ ὅλης τῆς καρδίας μου ἐξ ὅλης διανοίας δὲ
ἐπιποθοῦσά Σε, Χριστέ, θεάσασθαι τὸν ποθεινόν,
τὸν μόνον ὄντα τῶν πιστῶν ἐλπίδα καὶ καταφυγήν,
ὃν οὐ καθικετεύσειεν ποτ' ἄντις εἰμὴ εὔελπις
εἴη ἐλεηθήσεσθαι;

—

Δός δή μοι τὴν χάριν τήνδε διὰ Σὲ αὐτὸν Χριστέ μου,
καὶ διὰ τὸ ὄνομά σου τὸ πανάγιον καὶ θεῖον·
ἵν' ὁσάκις ἐννοῶ Σε, λέγω περὶ σοῦ καὶ γράφω
περὶ σοῦ ἀναγινώσκω, περὶ σοῦ διασκοποῦμαι,
Σοῦ τε διαμνημονεύω ἵσταμαι ἐνώπιόν σου
ἱκεσίαν καὶ θυσίαν σῆς αἰνέσεως προσάγων,
τοσαυτάκις μοι δακρύων ὄμβρους ἐπιγιγνομένων
δαψιλῶς τε καὶ ἡδέως πάντοτε, Χριστέ, ἐκχέω·
ὥστε νύκτα καὶ ἡμέραν ἄρτος μου τὰ δάκρυά μου
γενηθήτωσαν, Θεέ μου.
Σὺ γὰρ Βασιλεὺς εἶ δόξης, ἄρχων δ' ἀρετῆς ἁπάσης,
ἐκδιδάξας ἡμᾶς λόγῳ ὑποδείγματι θρηνεῖν τε
κλαίειν ἐποδύρεσθαί τε, Μακαρίσας τοὺς πενθοῦντας,
εἰπὼν ὅτι οἱ πενθοῦντες ἔσονται ἐν παρακλήσει
καὶ Μακάριοι κυροῦσιν.
Σὺ ἐπὶ τῷ τεθνηκότι φίλῳ ἔκλαυσας Χριστέ μου,
καὶ ἐδάκρυσας ἐπὶ τῇ πόλει τῇ ἀπολουμένῃ

—

Δέομαι οὖν, Ἰησοῦ μου, δι' αὐτὰ τὰ δάκρυά σου
καὶ διὰ τοὺς Οἰκτιρμούς σου ἐν οἷς τῶν ἀπολωλότων
ἡμῶν Σὺ ἀντιλαβέσθαι κατηξίωσας, Χριστέ μου,
δὸς δή μοι τὴν χάριν ταύτην τῶν δακρύων, ὧν ὡς
ἡ ψυχὴ ἐφίεται μου ταύτην μὴ δωρησαμένου [λίαν
Σοῦ, ἀπ' ἐμαυτοῦ κεκτῆσθαι ἔστι μοι τῶν ἀδυνάτων,
ἀλλ' ἢ διὰ τοῦ ἁγίου πνεύματός Σου Ἰησοῦ μου
τοῦ μαλθάσσοντος ἀτέγκτους τῶν ἁμαρτωλῶν καρδίας
κλαίειν κατανενυγμένως.

Δὸς τὴν τῶν δακρύων χάριν ὡς αὐτὴν ἔδωκας Σῶτερ
τοῖς πατράσι τοῖς ἁγίοις, ὧν τοῖς ἴχνεσι μιμήσει
ἕπεσθαι δέον μεγάλως ἐπολοφυρόμενόν με
διὰ ὅλου μου τοῦ βίου, ὥσπερ ἑαυτοὺς ἐκεῖνοι
νύκτωρ τε καὶ μεθ' ἡμέραν ὀδυρόμενοι ὑπῆρχον·
ταῖς αὐτῶν πρεσβείαις, Σῶτερ, τῶν σοι εὐαρεστησάντων
καὶ πιστῶς Σοι δουλευσάντων οἴκτειρον κἀμὲ βοῶ Σοι
τὸν σὸν δοῦλον τὸν εἰς ἄγαν ἄθλιον ἐλεεινόν τε.

Δὸς τὸ χάρισμά μοι τόδε τοῦ ἐνδελεχῶς δακρύειν,
δὸς τοιαύτην μοι ἀρδείαν
ἀρδευόμενόν με δείξας ὄμβροις θαλερῶν δακρύων,
ἄνωθέν τε κάτωθέν τε.

Ἵνα οὕτω γένοιτό μοι τὰ τοιαῦτα δάκρυά μου
ἄρτος μου νυκτὸς ἡμέρας, καὶ ἐνώπιόν Σου Σῶτερ,
ὥσπερ μεμυελωμένον πῖον ὁλοκαύτωμά Σοι
διὰ τοῦ πυρὸς τῆς ἄγαν συντριβῆς προσοίσω, Σῶτερ,
ὅπερ σοὶ ἐσφαγιάσθη ἐν τῷ θυσιαστηρίῳ
τῆς ἐμῆς Χριστὲ καρδίας πιμελῆς καὶ στέατός τε
πάντοθεν μεμεστωμένον, εἰς ὀσμὴν σοι εὐωδίας·

Δός μοι γλυκύτατε πηγὴν ἀείρρουν τε καὶ καθαρὰν
δακρύων, ἐν ᾗ τόδε μου ὃ οἴσω ὁλοκαύτωμα
τὸ ἄγαν καταμολυνθὲν καθαριῶ καὶ ἐκπλυνῶ.
Εἰ γὰρ τῆς Σῆς μοι χάριτος νῦν συνεπαρηγούσης
ἐμὲ αὐτὸν ὅλον ἐγὼ ἐγκαθιέρωσα, Χριστέ, [μοι
ἀλλ' ὁσημέραι ἐν πολλοῖς προσκρούω ἁμαρτήμασι
καὶ ἁμαρτάνω συνεχῶς διὰ τὴν ὑπερβάλλουσαν
αὐτήν μου ἀβληχρότητα.
Χάρισαί μοι εὐλογητὲ τὴν χάριν τοῦ δακρυρροεῖν,
Θεέ μου ὑπεράγαθε, καὶ τῇ γλυκύτητι τῆς Σῆς
μάλιστα ἀγαπήσεως καὶ τῇ ἐπαναμνήσει δὲ
τῶν οἰκτιρμῶν σου τῶν πολλῶν ταύτην ἑτοίμασον ἐμοὶ
τράπεζαν Σοῦ ἐνώπιον καὶ ἱκανὸν μὲ ποίησον
κορέννυσθαί με ἐξ αὐτῆς ὁσάκις τε βουλοίμην ἄν.

—

Δίδου μοι κατὰ τὸ πλῆθος τῆς χρηστότητός σου,
[Σῶτερ,
καὶ τοῦ Σοῦ πολλοῦ ἐλέους, ἵνα τὸ ποτήριόν σου
ὡσεὶ κράτιστον μεθύσκον τῆς καρδίας μου τὴν δίψαν
ἄδην ἐπικορεννύῃ, ὅπως ἂν Σοὶ ἐπιχαίνῃ
ἡ ποθοῦσά σε ψυχή μου καὶ πρὸς τὴν ἀγάπησίν σου
ἡ διάνοιά μου φλέγητ' ἐπιλήσμων γινομένη
ματαιότητος τοῦ κόσμου, ἀθλιότητός τε πάσης.

—

Εἰσάκουσόν μου ὁ Θεός, ὁ φωτισμός μου ἄκουσον!
ὑπὲρ ὧν ἐξαιτοῦμαί Σε εἰσάκουσόν μου ὁ Θεὸς
καὶ δὸς αἰτεῖσθαί με ἀεὶ ὑπὲρ ὧν εἰσακούσαις μου,
ὦ πανοικτίρμον Κύριε καὶ εὐδιάλλακτε Θεέ.

Μηδέ μοι γένοιό ποτε οἰκτίρμον ἀδυσώπητος
διὰ τὰς ἁμαρτίας μου, ἀλλὰ τὰς ἱκεσίας μου
προσδέξαιο τοῦ δούλου σου ἕνεκεν σῆς Χρηστότητος
καὶ τὰς αἰτήσεις ὧν ἐγὼ ἐφίεμαι πληρώσαις Σὺ
πρεσβείᾳ τε καὶ χάριτι τῆς Παναγίας Σου Μητρὸς
Μαρίας τῆς Κυρίας μου καὶ πάντων τῶν ἁγίων σου.
[Ἀμήν.

ΚΕΦΑΛΑΙΟΝ Λς΄

Διὰ ταύτης τῆς ἱκεσίας ἐπὶ πλεῖον ἡ ψυχὴ κατανύγεται, ἀναγινωσκομένης ἐν ἡσυχίᾳ.

Ὦ Ἰησοῦ μου Κύριε! ὦ πανοικτίρμον Ἰησοῦ,
Χριστέ μου ἀπειράγαθε, ὁ ὑπὲρ τῆς ζωῆς ἡμῶν
θανεῖν καταδεξάμενος καὶ ἀναστὰς τριήμερος
πρὸς τὴν δικαίωσιν ἡμῶν· αἰτοῦμαί Σε διὰ τὴν σὴν
πανένδοξον ἀνάστασιν, ἀπὸ τοῦ τάφου τῶν πολλῶν
πλημμελειῶν μου, Κύριε, καὶ τῶν ἀνομιῶν μου Σὺ
ὡς ἀγαθός με ἔγειρον καὶ ἐξανάστησόν με Σὺ
καὶ μέρος καθ᾽ ἑκάστην μοι ἐν τῇ ἁγίᾳ καὶ σεπτῇ
ἐνδόξῳ ἀναστάσει σου τῇ προλαβούσῃ, Κύριε,
παράσχου, ἵνα ἄξιος γένωμαι τοῦ ἐπιτυχεῖν
καὶ τῆς μερίδος ἀληθῶς τῆς ἀναστάσεως τῆς σῆς.

Ὦ Ἰησοῦ γλυκύτατε! Χριστέ μου εὐμενέστατε!
ὦ λόγε πανευνούστατε! ὦ χαριτόβλητε Θεέ!
ὦ ὑπερτιμιώτατε! Χριστέ μου ὑπερπόθητε,
ὑπεργάπητε Χριστὲ Σῶτερ μου ὑπερκάλλιστε,
ὁ ἀνελθὼν εἰς Οὐρανὸν ἐν δόξῃ θριαμβεῦσαι σῇ
καὶ τοῦ καθίσαι δεξιὰ τῆς δόξης τοῦ Θεοῦ Πατρὸς
ὡς κραταιὸς ὢν Βασιλεύς· ἀνέλκυσον δὴ ἄνω με
πρὸς Σέ, ἵνα ὀπίσω σου εἰς τὴν ὀσμὴν τοῦ μύρου σου
δράμω, γλυκύτατε Ἰησοῦ.
Δραμοῦμαι πάντως Ἰησοῦ καὶ οὐκ ἐλλείψω, Σοῦ αὐ-
ἑλκύοντος πρὸς σεαυτὸν καὶ ὁδηγοῦντος τρέχοντα. [τοῦ
Ἕλξαι ψυχῆς διψώσης Σε στόμα ἐπὶ τὰ χεύματα
τοῦ αἰωνίου κόρου σου· μᾶλλον δέ με πρὸς Σὲ αὐτόν
ἕλξαι τὴν ζείδωρον πηγὴν ἵνα κατὰ τὸ ἐγχωροῦν
πίωμαι ἐξ αὐτῆς κἀγώ, ὅθεν ἂν ζήσωμαι ἐν Σοί,
[ὁ φωτισμός μου ἡ ζωή.

Σὺ γάρ, Δέσποτα Χριστέ μου, εἶπας ἐν τῷ στόματί
τῷ ὑπερευλογημένῳ ὁ διψῶν ἐρχέσθω πρός με [σου
καὶ πινέτω· ὦ πηγὴ ἡ βρύουσα ζωῆς τὸ ὕδωρ
δὸς ψυχῇ διψώσῃ, σφόδρα πίνειν ἀπὸ σοῦ εἰς κόρον
εἰς ἀεί, ἵνα ὡς εἶπας, κατὰ τὴν ἀψευδεστάτην
θείαν σου ἐπαγγελίαν καὶ ἐκ τῆς ἐμῆς καρδίας
ρεύσουσιν ὕδατα ζῶντα! Ὦ πηγὴ ἡ τῆς ζωῆς μου
ἔμπλησον ἐκ τοῦ χειμάρρου τῆς τροφῆς τὸ νοερόν μου,
πᾶσαν τὴν διάνοιάν μου, μέθυσόν μου τὴν καρδίαν
τῇ τῆς ἀγαπήσεως σου σώφρονι καὶ νηφαλίῳ
μέθῃ ὡς ἂν τῶν ματαίων τῶν προσκαίρων καὶ γηΐνων

ἐπιλάθωμαι τελείως, καὶ Σὲ ἔχων διὰ μνήμης,
Κύριε ἀδιαλείπτως σοὶ εὐφραίνομαι καὶ χαίρω,
καθ' ἃ ἔστι γεγραμμένον: «τοῦ Θεοῦ μου ἀνεμνή-
καὶ ηὐφράνθη ἡ ψυχή μου». [σθην
Δὸς τὸ ἅγιόν Σου Πνεῦμα, ὃ ἐκεῖνα ὑπεδήλουν
τὰ πηγαῖα ὕδατά σου, ἃ διδόναι Σὺ ὑπέσχου
τοῖς διψῶσιν Ἰησοῦ μου! δὸς τῷ πόθῳ ὁλοκλήρῳ
καὶ σπουδῇ μὲ πάσῃ σπέρχειν, ἔνθα ἀναβεβηκέναι
σὲ πιστεύομεν ἐν δόξῃ τεσσάρακοντα ἡμέρας
μετὰ τὴν ἀνάστασίν σου, ἵνα ἐπὶ τῆς παρούσης
ἀθλιότητός μου τῆς δε κάτοχος τῷ σώματί μου,
μόνῳ ὦ, τῷ λογισμῷ δὲ καὶ τῇ πάσῃ προθυμίᾳ
Σοὶ διὰ πάντος ὑπάρχω, ἵνα ᾖ μου ἡ καρδία,
ἔνθα Σὺ ὁ θησαυρός μου ὁ ἀσύγκριτος ὑπάρχεις,
ὁ ἐμοὶ σπουδαῖος σφόδρα ποθεινότατος τε πέλων.
Ἐν γὰρ τῷ μεγάλῳ τῷδε ποντισμῷ τοῦ ἐνεστῶτος
βίου καὶ κατακλυσμῷ τε ἐν ᾧ ὑπὸ τῶν κυμάτων
[τῶν δὴ περιϊσταμένων,
τῶν τρικυμιῶν τῆς ζάλης, τοῦ ταρασσομένου πόντου
κλονιζόμεθα ἀπαύστως, ἔνθα οὐδεμία ἐστὶν
ἐγκατάστασις ἑδραία ἔμπεδος ἀκλόνητός τε
οὐ χωρίον ὑπερκύπτον, οὗ ἂν ἔχοιεν οἱ πόδες
ἐπερείσασθαι πρὸς ὥραν τῆς περιστερᾶς τοῦ Νῶε,
οὐδαμοῦ ἡμῖν εἰρήνη ἀσφαλής τε καὶ ἑδραία,
ἀτρεμὴς ἀνάπαυσίς τε, πανταχοῦ ἔριδες μάχαι
πανταχοῦ ἐχθροὶ παντοῖοι· ἔξωθεν πόλεμοι στάσεις,
φόβοι ἔσωθεν κλονοῦσι·
Ἐπεὶ δὲ οἱ βροτοὶ ἡμεῖς ἀπόμοιρα πεφύκαμεν,

θάτερον μὲν ἐξ οὐρανοῦ, θάτερον δὲ ἀπὸ τῆς γῆς,
σῶμα δὲ τὸ φθειρόμενον συνεπιβρίθει τῇ ψυχῇ
ἔνθεν τοι ἡ ἐμὴ ψυχὴ ἐκείνῳ οὖσα κοινωνὸς
ἔγκοπος ἀπὸ τῆς ὁδοῦ ἤδη ἀπειρηκυῖά τε
ἠτόνησε καὶ πάρετος κεῖται· διασχισθεῖσα δε
καὶ κατασπαραχθεῖσά τε βίου ταῖς ματαιότησι,
δι' ὧν διῆλθε, τῷ λιμῷ καὶ δίψει τε συνέχεται,
οὐδ' εὐπορῶ ὅ,τι αὐτῇ πρὸς βρῶσιν παραθήσομαι,
ἐπεὶ πτωχός εἰμι ἐγὼ καὶ πένης· Σὺ οὖν, Κύριε,
ὁ βρύων πᾶσιν ἀγαθοῖς, ὁ τῶν ὑπερκειμένων τε
ἀΰλων ἑστιάσεων ὑπάρχων θεῖος δαιτυμὼν
ὁ μόνος περιούσιος, δὸς δή μοι τῷ λιμώττοντι
βρῶσιν, καὶ μὲ συνάγαγε τὸν κατασκεδασθέντα νῦν
καὶ τὸν διασχισθέντα τε συνούλωσον ὡς ἀγαθός!!
Ἰδοὺ πρὸ τοῦ πυλῶνός σου ἔστηκε κρούων, Κύριε.
Ἐκλιπαρῶ σε, Κύριε, διὰ τὰ σπλάγχνα τῶν πολλῶν,
Οἰκτίρμον, θείων Οἰκτιρμῶν,
ἐν οἷς, ἀνατολὴ φανεὶς ἐξ ὕψους ἔφανας ἡμᾶς
ἐπισκεψάμενος ἡμᾶς· τῷ κρούοντί γε ἄνοιξον,
τὴν χεῖρα τοῦ ἐλέους σου ἐκτείνας πρὸς τὸν κρούοντα·
καταξιώσας ἀγαθὲ γενέσθαι αὐτῷ εὐΐλατος,
κέλευσον, ἵνα καὶ αὐτὸς πρὸς Σὲ εἰσέλθοι ὁ Θεός,
ἀναπαυθείη δὲ ἐν σοὶ καὶ ἐπαναψυχθείη σοι,
τοῦ ἄρτου ἐπισιτισθεὶς τοῦ ζῶντος τοῦ ἐξ Οὐρανοῦ·
ὅπως ἂν κορεσθεὶς φαγὼν καὶ τῇ τροφῇ ἐπιρρωσθεὶς
προσέλθοι ἔτι προχωρῶν ἐπὶ τὰ ὑψηλότερα
καὶ ἐπὶ τὰ ἀνώτερα, καὶ τὴν κοιλάδα ὑπερβὰς

τῶν θρήνων ταύτην καὶ κλαυθμῶν, ἐνθέου πόθου τε
πτερώματι ἀφαρπαγεὶς ἐπὶ τὴν ἐπουράνιον [ταχὺ
σοῦ βασιλείαν πετασθῇ.

—

Προσλαβέτω, Κύριέ μου, προσλαβέτω, δέομαί σου,
πτέρυγας τὸ ἐμὸν πνεῦμα καὶ πρός Σὲ νῦν πετασθήτω
καὶ μὴ ἐκλειπέτω ὅλως.
Πετασθήτω ὁ Θεός μου, ἄχρι σοῦ δὲ ἀφικέσθω,
ἄχρι τοῦ σοῦ Θείου Οἴκου τῆς ἐκπάγλου εὐπρεπείας,
ἕως τόπου τῆς ἀρρήτου δόξης τοῦ σκηνώματός σου,
ἵν', ἐφ' ἧς συνευωχοῦνται οἱ μακάριοι τραπέζης
ὑπερκόσμιοι πολῖται, καὶ αὐτὸ τὸ ἐμὸν πνεῦμα
τῆς νομῆς τῶν σῶν μετάσχοι ἀπορρήτων μυστηρίων,
ὅπου ἔστιν τόπος χλόης παρὰ τὰς πηγὰς ὑδάτων,
ἃ προρρέουσιν ἀφθόνως, ἐπαναπαυθείη Σοὶ δὲ
τῷ Θεῷ μου ἡ καρδία.
Ἡ καρδία μου ἡ οὖσα αὕτη πέλαγος τὸ μέγα
τὸ ἐξῳδηκὸς ὡς σφόδρα κύμασι φαληριῶσι·
Σὺ ὁ καὶ τῇ καταιγίδι καταπαῦσαι ἐπιτάξας
καὶ εἰς αὔραν μετατρέψας καὶ ἐπὶ τῶν τῆς καρδίας
[μοῦ βημάτισον κυμάτων,
ἵνα φιμωθῇ τὸ πνεῦμα καὶ ἡ ζάλη καταπαύσῃ,
εἰς γαλήνην καὶ εὐδίαν καταστῇ τὰ ἐμὰ πάντα,
ὥστε σοῦ τοῦ μόνου ὄντος ἀγαθοῦ ἐμοὶ Θεέ μου
περιπτύσσεσθαί με θέλω Σέ τε περιέχεσθαί με
καὶ Σὲ τὸ τῶν ὀφθαλμῶν μοι φάος τὸ γλυκύτατόν μου
ἐπιθεωρεῖν ἀπαύστως, τῆς τυφλῆς ἀπαλλαγέντα
καὶ πυκνῆς πάσης ὁμίχλης τῶν διενθυμήσεών μου

τῶν πολυταράχων σφόδρα.
Ἡ ψυχή μου, Κύριε μου, ὑπὸ τῇ τῶν σῶν πτερύγων
σκέπῃ δὴ καταφευγέτω ἐκ τῶν λογισμῶν τῆς ζάλης
τοῦ ματαίου τούτου κόσμου, ἵν' ἐπηλυγαζομένη
τῇ παρὰ σοῦ ἀναψύξει γηθοσύνως ἐπαείδει
λέγουσα τὸ «'Εν εἰρήνῃ κοιμηθήσομαι καὶ αὖθις
ἐπὶ τὸ αὐτὸ ὑπνώσω».
Κοιμηθήτω, ὁ Θεός μου, Κύριε, ἀντιβολῶ Σε,
ὑπνωσάτω μου ἡ μνήμη καὶ ἀπὸ παντὸς κακοῦ δὲ
ἀπαργήσασα τελείως καὶ σχολάσασα ἐφ' ἅπαξ
τῶν ἀδικημάτων πάντων ἡ ψυχὴ ἀποστραφέσθω
καὶ τὰ δίκαια τηρείτω· τὶ γὰρ κάλλιον καί τί δὲ
ἴδιον γένοιτο ταύτῃ· ἢ ἡ τὸ ἐπιχαίνειν πρὸς τὴν
ἐκ θεοῦ παντευφροσύνην, ἐν τῇ τοῦ παρόντος βίου
βαθυτάτῃ σκοτομαίνῃ καὶ ταῖς ἐπιπολαζούσαις
τούτῳ πολλαπλαῖς πικρίαις, καὶ ὀπίσ' ἐπιστενάζειν
τῆς παραταθησομένης ζωῆς μακαριοτάτης;
καὶ ἐκεῖσε ὁλοψύχως ἀποβλέπειν ἔνθα ἔστιν
ἀπολαύειν τῆς γλυκείας καὶ ἀπαύστου εὐφροσύνης;
Γλυκύτατ', εὐμενέστατε θεέ μου, πανευνούστατε,
Κύριε χαριτόβλυτε, ἅγιε ποθεινότατε,
Θεὲ ὑπεραγάπητε, Θεὲ ὑπερκαλλέστατε,
πότε δή Σε ἐπόψομαι; ὢ πότε παραστήσομαι
τῷ φωτεινῷ προσώπῳ σου, ὢ πότε χορτασθήσομαι
τοῦ ἀμυθήτου κάλλους σου πότε ἀπὸ τῆς ζοφερᾶς
ἐξάξεις ταύτης φυλακῆς τοῦ ἐξομολογήσασθαι
τῷ θείῳ σου ὀνόματι, ὥστε μηκέτι τοῦ λοιποῦ
δεῖσθαι ἐμὲ τῆς συντριβῆς οὔτε τῆς κατανύξεως;

Ὦ πότε μεταβήσομαι ἐπὶ τὸν ὡραιότατον
καὶ τὸν θαυμασιώτατον ἐκεῖνον οἶκόν Σου, Θεέ,
ἐν ᾧ ἠχεῖ δὴ εὔλαλος φωνὴ ἀγαλλιάσεως
ἐν ταῖς δικαίων ταῖς σκηναῖς ; Οἱ κατοικοῦντες ἐν
μακάριοι διὰ παντὸς αἰνέσουσί Σε, Κύριε, [αὐτῷ
ὡς μάκαρες, παμμάκαρες, οὓς ἐξελέξω ὁ Θεὸς
καὶ προσελάβου Σὺ αὐτοὺς εἰς τὴν κληρονομίαν σου
ἐκείνην τὴν Οὐράνιον. Ὡς κρίνα εὐωδέστατα
ἀνθοῦσι Σοῦ ἐνώπιον οἱ ἅγιοί σου, Κύριε.
Καὶ γὰρ ἐμπίπλανται αὐτοὶ ποιότητος τοῦ Οἴκου σου,
ἐκ τοῦ χειμάρρου τῆς τρυφῆς ποτίζεις, Κύριε, αὐτούς.
Σὺ εἶ πηγὴ γὰρ τῆς ζωῆς καὶ ἐν τῷ σῷ φωτὶ αὐτοὶ
ὀπτάνονται τὸ θεῖον φῶς· ὡς καθεστῶτας φῶς αὐ-
τὸ φωτισθὲν δὴ ὑπὸ Σοῦ [τούς,
τοῦ κόσμου καταυγάσαντος, καὶ ἐξαστράπτειν τῇ
[μορφῇ

καθάπερ Ἥλιος. Βαβαὶ ὡς θαυμαστὰ ὡραῖά τε,
ὡς λίαν μοι ἀγαπητὰ τὰ σὰ σκηνώματά εἰσιν,
Κύριε τῶν δυνάμεων! ἐπιποθεῖ, ἐκλείπει τε
ὡς σφόδρα ἡ ἐμὴ ψυχὴ τοῦ εἰσιέναι εἰς αὐτά,
ὦ, Κύριε, ἠγάπησα εὐπρέπειαν τοῦ Οἴκου Σου
καὶ τόπον τοῦ σκηνώματος τῆς ἀπροσίτου δόξης σου.

—

Μίαν παρὰ τοῦ Κυρίου καὶ θεοῦ μου ᾐτησάμην,
ταύτην αὖθις ἐκζητήσω τοῦ μὲ κατοικεῖν ἐν Οἴκῳ
τοῦ Κυρίου μου ἁπάσας τὰς ἡμέρας τῆς ζωῆς μου.
Ὡς ἡ ἔλαφος διψῶσα ἐπὶ τὰς πηγὰς ὑδάτων,
οὕτως ἡ ψυχή μου σφόδρα Σὲ ἐπιποθεῖ, Θεέ μου.

πότε ἥξω τῷ προσώπῳ τοῦ Κυρίου καὶ Θεοῦ μου
καὶ ὀφθήσομαι, ὢ πότε τὸν Θεὸν ἐπόψομαί μου,
ὃν ἐδίψησ' ἡ ψυχή μου; πότ' αὐτὸν θεάσομαί τε
ἐν τῇ γῇ τῶν ὄντως ζώντων; ἐπὶ γὰρ τῆς τῶν θνη-
[σκόντων

τῆσδε γῆς οὐκ ἂν ὀφθείη ὄμμασι θνητοῖς ποτέ που
τί οὖν δράσω ὁ παντλήμων; ὁ τῷ βάρει τῶν δεσμῶν
τῶν πεδῶν θνητότητός μου ὅλος ὢν πεπεδημένος; [μου,
Τί ποτε ὁ τάλας ῥέξω ; Ἕως οὗ ἐσμεν ἐνταῦθα
ἐν τῷ σώματι βιοῦντες, πάντως ἀπὸ τοῦ Κυρίου
τοῦ Θεοῦ ἀποδημοῦμεν. Οὐ γὰρ ἔχομεν βιοῦντες
ὧδε μένουσαν τὴν πόλιν, ἀλλὰ στένοντες ἀπαύστως
τὴν τοῦ μέλλοντος ζητοῦμεν, τὸ πολίτευμα ἡμῶν δὲ
ἐν τοῖς Οὐρανοῖς ὑπάρχει.

—

Οἴμοι ὅτι ἐμακρύνθη ἡ ἐν γῇ μου παροικία,
κατεσκήνωσα μετὰ δὲ τοῦ Κηδὰρ τῶν σκηνωμάτων·
πολλὰ ὧδε ἡ ψυχή μου ἔτη ἐστὶν ἐν παροικίᾳ·
τίς δὲ πτέρυγάς μοι δώσει ὡς περιστερᾶς πρὸς πτῆσιν;
πετασθήσομαι δὲ τότε πρὸς θεὸν καὶ καταπαύσω ;
οὐδέν ἐστιν ἡδὺ οὕτω ὡς τὸ σὺν Κυρίῳ εἶναι.
Ἐμοὶ ἀγαθὸν γάρ ἐστι τῷ Θεῷ μου προσκολλᾶσθαι.
Κύριε, Σύ μοι παράσχου τὸ γοῦν Σοί μου προσκολ-
[λᾶσθαι

τὴν ψυχὴν χρόνον ἐφ' ὅσον ἐν τοῖς ἐπικήροις τούτοις
μέλεσιν ἐνδιατρίβει, ὥσπερ γέγραπται ἐν βίβλῳ·
«ὁ κολλώμενος Κυρίῳ σὺν αὐτῷ ἐστιν ἓν Πνεῦμα».
Δὸς πτερά μοι θεωρίας δι' ὧν ὡς πτερόεις ὄρνις

πετασθήσομαι πρὸς ἄνω. Ἐπεὶ πᾶν εὐώνυμόν τοι
κάτω που ἐν γαίᾳ κεῖται, Σὺ μου τὴν ψυχὴν ἐπίσχες
μήποτ᾽ ἐπικαταρρεύσῃ εἰς τὰ βάθη τῆς ζοφώδους
καὶ σκοτοβριθοῦς κοιλάδος· μή, τῆς γαιηρᾶς ἀχλύος
ἐς ἀεὶ προσεγχωρούσης ἀπὸ τοῦ τῆς Τρισηλίου ὁ
[Θεὸς δικαιοσύνης
μή ποτε ἀποζευχθείη, καὶ ἐκ τῆς πυκνῆς ὁμίχλης
τῆς με ἐπισκοτισάσης ἡ ψυχή μου ἀπειρχθείη
τοῦ εἰς ὕψος ἀναβλέψαι. Διὰ τοῦτο κἀγὼ τοίνυν
ἀνατείνομαι καὶ σπεύδω πρὸς τὴν τέρψιν τῆς Εἰρήνης
καὶ πρὸς τὴν ἐν τῷ φωτί σου πανευφρόσυνον ἐκείνην
οἴκησιν γαληνοτάτην.

—

Ἐν τῇ χειρί σου, Κύριε, κάτεχε τὴν καρδίαν μου·
σοῦ ἄνευ γὰρ οὐχ οἷα τε ἐστὶν ἐπὶ τὰ ὑψηλὰ
τὰ ἄνω ἀναρπάζεσθαι. Ἐκεῖσε σπεύδω ἔνθα τοι
ἀνάσσει ἀκροτάτη μὲν εἰρήνη, καὶ εὐδία δὲ
πυρράζει ἡ διηνεκής. Κάτεχε καὶ διεύθυνον
Σὺ ὁ Θεὸς τὸ πνεῦμά μου κατὰ τὸ Σοῦ ἀνειληφὼς
βούλημα τὸ θειότατον, ἵνα Σοῦ ὁδηγοῦντός με
ἀνέλθῃ εἰς τὴν εὔφορον χώραν, ὅπου αὐτός ἐστιν
ὁ ὁδηγῶν τὸν Ἰσραὴλ πρὸς τὰς νομὰς τὰς ζωηράς,
ἵνα Σοῦ ἐπιδράξαιτο ἐν διανοίᾳ καθαρᾷ
τῆς ὑπερτάτης ἀληθοῦς σοφίας τῆς πρὸς ἅπαντα
χωρούσης, διὰ πάντων τε διαβαινούσης, πάντα τε
εὖ διακυβερνώσης γε. Ἡ που δὲ οὕτω τὴν ψυχὴν
πρὸς Σὲ πτερυσσομένην μου πολλὰ τὰ θορυβοῦντά τε
καὶ ἐκταράσσοντά ἐστιν. Ἀλλὰ τῷ σῷ κελεύσματι

πάντα τὰ ἐκταράσσοντά με κατασιγασθήσεται.
Αὐτὴ μόνον καθ᾽ ἑαυτὴν σιγάτω μού γε ἡ ψυχὴ
καὶ παρελθέτω ἅπαντα, πάνθ᾽ ὅσ᾽ ὑφέστηκεν κτισ
ὑπερβαινέτω καὶ πρὸς Σὲ προσίτω, καὶ πρὸς μόνον Σ
τὸν τῶν ἁπάντων ποιητὴν τὸν κτίστην καὶ δημιουρ
τοὺς ὀφθαλμοὺς τῆς πίστεως ἀτενιζέτω ἐς ἀεί, [γ
πρὸς Σὲ ἐπιχαινέτω τε καὶ στηριζέτω δὲ πρὸς Σὲ
καὶ Σὲ διασκοπείτω δέ, Σὲ ἀναθεωρείτω τε,
Σε πρὸ τῶν ὀφθαλμῶν αὐτῆς τιθέτω αὕτη ἐς ἀε
ἐξ ὅλης τῆς καρδίας Σε ἀνακαλείτω διαρκῶς
τὸ ἀγαθὸν τὸ ὕψιστον τὸ μόνον τὸ ἀληθινὸν
τὸ μόνον ἀγαλλίαμα τὸ μόνον ὃ διαμενεῖ
καὶ τέλους τε ἐπέκεινα.

—

Πλείονες μὲν θεωρίαι εἰσὶν αἱ ἐξενεχθεῖσαι,
ἐν αἷς ἡ ψυχή, ἥτις περ ἂν σοί γε καθιερῷτο,
τρέφοιτό σοι θαυμασίως, ἀλλ᾽ οὐδεμιᾷ δὴ τούτων
οὕτως ἐνηδύνεταί μου ἡ ψυχὴ καὶ καταπαύει,
ὡς ἐν Σοὶ τῷ ποιητῇ μου, ὅτε Σὲ διανοεῖται
καὶ Σε διασκέπτεται δέ. Ὡς πολύ ἐστι τὸ πλῆθ
τῆς χρηστότητός Σου, Λόγε, καὶ ὡς θαυμαστ
ταῖς ψυχαῖς τῶν Σὲ φιλούντων. [ἐμπνέ
Ὡς ὑπερφυής γέ ἐστιν ἡ γλυκύτης τῆς ἀγάπης
Σοῦ τοῦ Θείου ποιητοῦ μου, ἧς οἱ Σὲ φιλοῦν
ἀπολαύουσιν, καὶ ἄλλο μηδέν τι ἐπιζητοῦντες, [μόν
μηδὲ ἕτερόν τι ὅλως ἐφιέμενοι νοεῖν πως.
Ὡς εὐδαίμονες κυροῦσιν οἷς ἐλπὶς Σὺ πέλεις μόν
ὧν τὸ ἔργον ἅπαν ἐστιν τὸ προσεύχεσθαί σοι μόν

Ὡς μακάριος τυγχάνει ὁ ἐρημικὸς καὶ φίλος
τῆς τοῦ βίου ἡσυχίας, ὁ ἑστὼς ἀδιαλείπτως
ἐπὶ τῆς αὐτοῦ ἰδίας φυλακῆς νυκτὸς χἠμέρας
ὁ κἂν τῷδε τῷ σαρκίῳ τῷ προσέτι ἐπικήρῳ
ὁπωσοῦν ἐξαπολαύων προγευόμενος ἡδέως
τοῦ σοῦ γλυκασμοῦ τοῦ θείου!

—

Σοῦ δέομαι, δι᾽ ἃς ὑπὲρ τῆς σωτηρίας τῆς ἡμῶν
ζωοπαρόχους μοι πληγάς, Χριστὲ Σωτήρ, ὑπέμεινας,
δι ὧν δὴ τὸ πολύτιμον σοῦ αἷμα ἐξεπήγασεν,
ἐν ᾧ ἐξηγοράσθημεν τιμῆς οἱ ἁμαρτήσαντες,
Σὺ τὴν φιλαμαρτήμονα τήνδε ψυχήν μου τρῶσον δή,
ἧς χάριν εἵλου και θανεῖν. τραυμάτισον τοῖς βέλεσι
τῆς σῆς ἀγάπης Κύριε. Ζῶν γὰρ ὁ λόγος τοῦ Θεοῦ
ἐστί τε καὶ δραστήριος, ρομφαίας τε διστόμου δὲ
πέλει αὐτὸς τομώτερος. Ὦ τόξον Σὺ τὸ ἐκλεκτόν,
ρομφαία ὀξυτάτη τε, ἡ δικνεῖσθαι ἰσχυρῶς
δυνάμει σου ἰσχύουσα τοῦ κατασκλήρου θυρεοῦ
καρδίας γένους τῶν βροτῶν. Διάπειρόν μου δέομαι
βελέμνῳ τῷ τοῦ πόθου σου, Κύριε, τὴν καρδίαν μου,
ἵνα πρὸς Σέ μου ἡ ψυχή λέγῃ ὡς τέτρωμαι ἐγὼ
τῇ περί Σε ἀγάπῃ μου· ὥστε μου ἐκ τοῦ τραύματος
τῆς ἀγαπήσεως πρὸς Σὲ ἀπ᾽ ὀφθαλμῶν μου ἀπορρεῖν
νύκτωρ καί μεθ᾽ ἡμέραν δὲ τὰ δάκρυά μου δαψιλῶς.

—

Πάταξόν με, δέομαι σου, πάταξόν με, Κύριέ μου,
ταύτην μου τὴν σκληρυνθεῖσαν ἐκ τῶν κακιῶν ψυ-
[χήν μου

τῇ αἰχμῇ τῆς σῆς ἀγάπης τῇ ἀκμαίᾳ καὶ εὐσπλάγχν
καὶ βαθύτερον χωρήσας εἰς τὰ ἔνδον τῆς καρδίας
διὰ τῆς δυνάμεώς σου τῆς ὑπερφυοῦς Θεέ μου,
ὕδωρ ἐκ τῆς κεφαλῆς μου ἄφθονον ἐξάγαγέ μοι,
ὥστε καὶ πηγὰς δακρύων ἀειρρόους ἐκραγῆναι
θέλω ἀπὸ ὀφθαλμῶν μου ἔρωτι συνεχομένου
πόθῳ διακαεστάτῳ τῆς σῆς θέας τῆς καλλίστης.
Οὕτω τοίνυν ποίησόν με κλαίειν με ἀκαταπαύστως
μὴ παραμυθίαν μίαν ἐπὶ τοῦ παρόντος βίου
ἐπιδέχεσθαι με ὅλως, ἄχρις οὗ ἐν τῷ θαλάμῳ
τῷ σῷ τῷ ἐπουρανίῳ καταξιωθῶ ἰδεῖν σε
τὸν Νυμφίον τὸν ἐν κάλλει πέλοντα ὄντως ὡραῖον,
τὸν Θεὸν καὶ Κύριόν μου, ὅπως ἂν ἐκεῖ τὴν ὄψιν
τὴν καλλίστην κατοπτεύων τὴν γλυκύτητος παντοί
ὑπεργέμουσαν, συνάμα τοῖς ἀξίοις ἐκλεκτοῖς σου
Σοῦ ἱκέτης παρασταίην πρὸ τῆς Σῆς μεγαλωσύνη
καταστὰς δὲ ἔμπλεως τῆς Οὐρανίου εὐφροσύνης
ἀνακράξωμαι αὐτός τε μετὰ τῶν Σὲ ἀγαπώντων
λέγων· νῦν ἰδοὺ ἐκείνου οὗπερ ἐφιέμην σφόδρα,
αὐτὸν ἤδη καὶ θεῶμαι· ὃ ἐπήλπιζον κατέχω,
κέκτημαι ὅ,τι ἐπόθουν. Νῦν συνήφθην γὰρ ἐκεί
τῷ ἐν τοῖς ἐπουρανίοις, ὃν ἐπὶ γῆς διατρίβων
ἐκ τῆς ὅλης μου ἰσχύος καὶ ψυχῆς ἠγάπησά τε
ᾧπερ πόθῳ συνεπλάκην ἔρωτι τε ὁλοκλήρῳ
πρὸς αὐτὸν προσεκολλήθην.
Αὐτὸν ἀνυμνῶ, δοξάζω, προσκυνῶ καὶ μεγαλύνα

εὐλογῶ Θεὸν τὸν ζῶντα τὸν εἰς τοὺς αἰῶνας πάντας
βασιλεύοντα ἀπαύστως. Ἀμήν.

ΚΕΦΑΛΑΙΟΝ ΛΖ'

Δέησις ἐπὶ συνοχῇ θλίψεως

*Ἐλέησόν με, Κύριε Θεέ, ἐλέησόν με,
Σὺ τὸν ἐλεεινότατον ἁμαρτωλὸν ἐλέησον
τὸν πράττοντα ἀνάξια καὶ πάσχοντα ἐπάξια,
τὸν σοὶ μὲν πταίοντα συχνά, τὸν καθ' ἑκάστην δὲ
μάστιγας ὑφιστάμενον.   [τὰς σοῦ
Ἐὰν ἐπισταθμήσω δὲ τὸ πονηρὸν ὅπερ ἐγὼ
ἡμέραν καθ' ἑκάστην σου ἐνώπιον ἐποίησα,
οὐκ ἔστι τοῦτ' ἀντίσταθμον ὅσον ὑπέχω Κύριε.
Βαρύτερον ὃ ἔδρασα, κουφότερόν ἐστιν τοῦ ὃ
ἀνέχομαι ὁ ἄθλιος. «Σὺ δίκαιος εἶ, Κύριε,
εὐθεῖαι δὲ αἱ κρίσεις σου. Πάντα τὰ κρίματα τὰ σὰ
ἀληθινὰ καὶ δίκαια. Δίκαιος καὶ εὐθὺς εἶ Σύ,
Κύριε ὁ Θεὸς ἡμῶν, οὐκ ἔστιν ἀδικία σοι.»
οὐ γὰρ ἀδίκως, Κύριε, ἡμᾶς ἐξαμαρτάνοντας,
οὐδὲ ἀνηλεῶς ἡμᾶς σὺ καταθλίβεις, Κύριε
οἰκτίρμον παντοδύναμε. Ὃς μηδαμῶς ὄντας ἡμᾶς
ὡς πανσθενὴς ἐποίησας, ἀπολωλότας δὲ κακῶς
φιλανθρωπίᾳ σου πολλῇ ὡς θαυμαστῶς διέσωσας·*

*Οἶδα, Σῶτερ, εὖτε οἶδα καὶ ἀνενδοιάστως οἶδα
ὅτι οὐκ εἰκῇ ὁ βίος φέρεται ἡμῶν ἐν κόσμῳ,
ἀλλ' οἰκονομεῖται ὅλος παρὰ σοῦ τοῦ παντουργέτου
διεξάγεταί τε οὕτος, αὐτὸς δὲ κηδόμενος εἶ
πάντων μέν, διαφερόντως δὲ σῶν δούλων Ἰησοῦ
τῶν τὴν ἅπασαν ἐλπίδα αὐτῶν ἐπὶ τῷ ἐλέει   [μου
τῷ Σῷ ἀνατεθειμένων· ἔνθεντοι παρακαλῶ σε,
ὡς ἱκέτης δέομαι σου, μὴ κατὰ τὰς ἁμαρτίας
τὰς ἐμάς μοι ἀποδώσῃς, δι' ἃς τῆς ὀργῆς σου Σῶτερ
ἔνοχος δὴ ἐγενόμην, πλὴν κατὰ τὸ ἔλεος σου
τὸ πολὺ τὸ μέγα σφόδρα, ὅπερ τῶν ἁμαρτημάτων
ἔτι σύμπαντος τοῦ κόσμου μεῖζον, Κύριε, ὑπάρχει.
Σὺ οὖν, Κύριε ὁ Θεός μου, ὁ τὰς μάστιγας εὐσπλάγ-
ἔξωθέν μοι ἐπιτρίβων, ἔσωθεν ὑπομονήν μοι [χνως
δὸς τήν μοι παρεσομένην εἰς ἀεὶ ἀδιαλείπτως,
ὡς μηδέποτε τὸν αἶνον σοῦ ἀπὸ τοῦ στόματός μου
Δέσποτα Θεὲ ἀπεῖναι. Ὁ Θεὸς ἐλέησόν με,
ὁ Θεὸς βοήθησον μοι ὡς Σὺ ἀναγκαῖον οἶδας
εἶναί μοι καὶ τῇ ψυχῇ μου εἶναι καὶ τῷ σώματί μου·
ἅπαντα ἐπίστασαί Συ, δύνασαι δὲ ἅπαντά τε
Σὺ ὁ ζῶν εἰς τοὺς αἰῶνας.*

ΚΕΦΑΛΑΙΟΝ ΛΗ'

Ἱκεσία πρὸς τὸν Υἱὸν Εὐλαβεστάτη

*Κύριε Ἰησοῦ Χριστέ, Υἱὲ Θεοῦ τοῦ ζῶντος,
ὁ τὰς ἀχράντους χεῖράς σου ἐπὶ σταυροῦ ἐκτείνας*

καὶ ὑπὲρ τῆς ἐξαγορᾶς τοῦ γένους τῶν ἀνθρώπων
τοῦ πάθους τὸ ποτήριον πιὼν μέχρι πυθμένος,
τὴν σὴν νῦν καταξίωσον βοήθειάν μοι παρασχεῖν.
ἰδοὺ πτωχὸς προσέρχομαι σοὶ τῷ πλουσίῳ ποιητῇ,
ὁ ὅλος ὢν ἐλεεινὸς Σοὶ τῷ παντελεήμονι·
μὴ δὴ παρέλθοιμι κενὸς ἢ παρεωραμένος πως·
ἰδοὺ ἐνάρχομαι πεινῶν, μὴ νῆστις λήξω ἀπὸ σου·
λιμώττων σοι προσέρχομαι, μή δὴ ἀπέλθω ἄσιτος·
ἐπεὶ δὲ πρὸ τῆς βρώσεως τοῖς στεναγμοῖς ἀπάρχομαι,
κἂν δὴ μετὰ τοὺς στεναγμοὺς παράσχου μοι γε τοῦ
[φαγεῖν.

Πρὸ πάντων οὖν, ὦ Ἰησοῦ γλυκύτατε, ἐνώπιον
τῆς Σῆς πολλῆς χρηστότητος ἐξαγορεύω κατ᾽ ἐμοῦ
ἐγὼ τὴν ἀνομίαν μου. Ἐν ἀνομίαις γὰρ ἐγὼ
καὶ συνελήφθην, Κύριε, καὶ ἐγεννήθην ἐκ Μητρός·
καὶ σὺ μέν με ἀπέπλυνας καὶ ὅλον μὲ καθήγνισας,
ἐγὼ δὲ πάλιν ἔπειτα ἐν μείζοσιν ὑπέπεσα
βαρέσι παραπτώμασι καὶ ὅλον κατερρύπωσα
Καὶ ἐν τοῖς ἀναγκαίοις μὲν τοῖς ἐξ Ἀδὰμ γεγένημαι,
ἀλλ᾽ ἐν τοῖς ἑκουσίοις φεῦ! κατεκυλίσθην ὕστερον.

—

Ἀλλὰ μνησθεὶς ὡς εὔσπλαγχνος, Κύριε, τοῦ ἐλέους σου
ἀπὸ τοῦ Οἴκου τοῦ πατρὸς τοῦ σαρκικοῦ μὲ ἐξήγαγες
ἀπὸ τῶν σκηνωμάτων τε τῶν ἐν Κηδὰρ ἁμαρτωλῶν
καὶ ἔμπνευσίν μοι ἔδωκας τοῦ κατακολουθῆσαί σοι
μετὰ τῶν ἐκζητούντων σου τὸ πρόσωπον διαπαντὸς
διαπορευομένων τε τὴν εὐθυτάτην σου ὁδὸν
καὶ τῶν διατριβόντων τε ἐν πάσῃ καθαρότητι

ἐν κρίνοις τοῖς ἁγνείας τε, καὶ συνανακειμένων σοι
ἐν ἑστιατορίῳ σου τῆς ὑψηλῆς πτωχεύσεως·
ἀλλ᾽ ὁ ἐλεεινὸς ἐγὼ ἀγνωμονήσας, Κύριε,
ἐπὶ τοῖς τηλικούτοις σου πρός με εὐεργετήμασι
καίτοι γε καθιέρωσα ἐμὲ αὐτοῦ τοῖς ἱεροῖς,
ἀλλ᾽ ὅμως κατετόλμησα τῶν ἀθεμίτων πάμπολλα
καὶ τῶν ἀρρήτων πάμπολλα ὁ ἄθλιος διέπραξα,
καὶ ἁμαρτάδας νεωπὰς ταῖς παλαιαῖς προσέθηκα
δέον, ἅπερ ἡμάρτησα ταχὺ ἐπανορθώσασθαι
Τοιαῦτά μου τὰ πονηρὰ ἔργα, δι᾽ ὧν ἠνόμησα,
δι᾽ ὧν Σὲ μὲν ἠτίμασα, ἐμόλυνα δὲ ἐμαυτὸν
τὸν δημιουργηθέντα σοι ἐξ ἀγαθότητος πολλῆς
κατὰ τὴν σὴν πανάγαθε εἰκόνα καὶ ὁμοίωσιν·
ἡ ὑπερηφανία μου καὶ ἡ κενοδοξία μου
καὶ ἄλλα πάμπολλα κακὰ ἐν οἷς ἡ τάλαινα ψυχὴ
θλίβεται ἐκκακοῦταί τε σπαράσσεται, διόλλυται.
Οἴμοι αἱ ἀνομίαι μου, Κύριε, ἐπληθύνθησαν
καὶ ὑπερῆραν φεῦ αὗται τὴν τάλαινάν μου κεφαλὴν
ὡσεὶ φορτίον δ᾽ ὑπ᾽ ἐμὲ βαρὺ ἐπεβαρύνθησαν
καὶ ἂν μὴ Σὺ (οὗ ἴδιον τὸ σῴζειν καὶ τὸ ἐλεεῖν)
κατοικτειρήσας, ἀγαθὲ μοὶ ὑποτείνῃς δεξιὰν
τὴν τῆς μεγαλωσύνης σου, δῦναι εἶσι ὁ ἐλεεινὸς
βυθῷ καταναγκάζομαι θαλάσσης ὑποβρύχιος.
Σὺ Κύριε οὖν πρόσσχες μοι καὶ ἴδε καὶ ἐπάκουσον
ὅτι θεὸς εἶ ἅγιος. Νῦν ἐπεμβαίνει κατ᾽ ἐμοῦ
καὶ ἐπιχαίρει ὁ ἐχθρός, φησὶ δέ, ἐγκατέλιπεν
ὁ ἅγιος θεὸς αὐτόν· καὶ ἐκδιώξω νῦν αὐτὸν
καὶ καταλήψομαι αὐτόν ὅτι οὐκ ἔστιν βοηθὸς

οὐκ ἔστιν ὁρυόμενος. Σὺ δ' ἕως πότε Κύριε ;
Ἐπίστρεψον δὴ Κύριε, Σὺ τὴν ψυχήν μου λύτρωσαι
ἕνεκεν τοῦ ἐλέους σου διάσωσόν με, Κύριε,
ἐλέησον τὸ τέκνον σου ὃ ἐν ὀδύνῃ τέτοκας,
μηδὲ τῇ μοχθηρίᾳ μου πρόσσχοις ὁ ὑπεράγαθος,
ὥστε ἐπιλαθέσθαι Σε τῆς Σῆς πολλῆς χρηστότητος.
Τίς ποτ' ἐγένετο πατὴρ ὁ μὴ ῥυόμενος υἱόν;
ἢ τις υἱὸς παρανομῶν
ὃν οὐ παιδεύει ὁ πατὴρ ἐπιεικείας ῥαβδισμῷ;

—

Λοιπὸν ὦ Πάτερ Δέσποτα, εἰ καὶ ἁμαρτωλός εἰμι,
ἀλλὰ Σὸς πέφυκα υἱός,διότι Σὺ με ἔπλασας
φθαρέντα δὲ ἀνέπλασας· ἐπεὶ δ' οὖν ἥμαρτον ἐγώ,
Σὺ αὖθις ἐπανόρθωσον· ἐν μάστιξι τὸ πρῶτόν με
ἐτάσας ἐπανόρθωσον, καὶ ἐπανορθωθέντα με
τῷ σῷ μονογενεῖ Υἱῷ οὕτω αὐτῷ παράδος με.
«Μὴ μήτηρ τοῦ γεννήματος αὐτῆς ἐπιλησθήσεται;»
πάντως δὲ δήπου κἂν αὐτὴ ἐπιλησθείη, ἀλλ' αὐτὸς
ὅμως, ὦ Πάτερ, ἔφησθα μηδόλως ἐπιλήσεσθαι.
Ἰδού σοι κράζω, Κύριε, καὶ Σὺ οὐκ εἰσακούεις μου;
καὶ ὀδυνῶμαι νῦν ἐγώ, καὶ Σὺ οὔ με παραμυθεῖς ;
Τί εἴπω ὁ πανάθλιος ; Τί ῥέξω ὁ ἐλεεινός ;
Ἆρ' ἀμοιρήσας οὖν ἐγὼ τῆς παρακλήσεως τῆς Σῆς
ἀπέρριμμαι ἀπ' ὀφθαλμῶν, Κύριε τοῦ προσώπου Σου
Οἴμοι ! ἀφ' ὅσων ἀγαθῶν ἐφ' ὅσα ἔφθασα κακά!
ποῦ σπεύδων ἤμην, νῦν δέ ποῦ κατήντησα ὁ ἀμελής!
Ὢ ποῦ ὑπάρχω ὁ πτωχός; ποῦ δ' οὐχ ὑπάρχω, Κύριε;
πρὸς ἅττα δὲ ἀνέπνεον, ἐν τίσι δὲ στενάζω νῦν ;

ἐζήτησα τὰ ἀγαθὰ οὐκ ἔστι δὲ ὁ πάροχος!
ἰδοὺ δὴ θνήσκω ἔρημος, ὁ γὰρ γλυκύς μοι Ἰησοῦς
οὐκ ἔστιν ἤδη μετ' ἐμοῦ ! Καὶ δήπου ἄμεινόν μοι ἦν
μὴ εἶναι μηδαμῶς ἐμέ, ἢ εἶναι πλὴν τοῦ Ἰησοῦ.
Καὶ γάρ μοὶ αἱρετώτερόν ἐστι μὴ ζῆν με μηδαμῶς
ἢ ζῆν με ἄνευ τῆς ζωῆς.

—

Καὶ Σύ, Χριστέ μου Ἰησοῦ, ποῦ τὰ ἐλέη σού εἰσιν,
ἃ πάλαι καθυπέδειξας ; μὴ δὴ ὠργίσθης ὁ Θεὸς
εἰς τέλος ἐναντίον μου; Ἱλάσθητί μοι, Κύριε,
μὴ ἀποστρέψῃς ἀπ' ἐμοῦ τὸ πρόσωπόν σου, δέομαι,
ὁ ἐμπτυσμοὺς δεξάμενος πρὸς τὸ ἐξαγοράσαι με
μὴ ἀποστρέψας τὸ ἁγνὸν τὸ ἅγιόν σου πρόσωπον
ἀπὸ τῶν ῥαπιζόντων Σε ὡς καὶ τῶν ἐμπτυόντων Σε.
Ἥμαρτον σοί, ὁμολογῶ, καὶ σύνοιδά γε ἐμαυτῷ
ἀξίῳ ὄντ' ἀποστροφῆς ἀξίῳ κατακρίσεως,
οὐδὲ τὸ μεταμέλεσθαι ἔστι μοι ὅλως ἀποχρῶν
πρὸς τὴν ἱκανοποίησιν· ἀλλ' ἡ φιλανθρωπία σου
προσκρούσεως ἁμαρτωλοῦ ἁπάσης ὑπερτέρ' ἐστίν.
Μή, ἀπειράγαθε Θεέ, μή δὴ μὴ γράψῃς κατ' ἐμοῦ
ὅσα σὲ παρεπίκρανα, ἵνα εἰσέλθῃς, Κύριε,
εἰς κρίσιν πρὸς τὸν δοῦλόν σου, ἀλλὰ κατὰ τῶν
[οἰκτιρμῶν
τὸ πλῆθος τοῦ ἐλέους σου τὸ κρῖμά μου ἐξάλειψον.
Φεῦ τῷ ἀθλίῳ φεῦ ἐμοί! ὁπόταν ἡ τῆς κρίσεως
ἡμέρα ἔλθῃ ἐν ῥιπῇ καὶ τότε συνειδήσεων
αἱ βίβλοι ἀνοιχθήσονται. Ὅταν περὶ ἐμοῦ ῥηθῇ
ἴδε ὁ ἄνθρωπος, ἰδοὺ τὰ ἔργα τὰ αὐτοῦ·

τί δράσω τότε Κύριε, ὅτε αὐτοὶ οἱ Οὐρανοὶ
τὴν ἀνομίαν τὴν ἐμὴν γυμνὴν ἀποκαλύψουσιν,
ὅτ' ἀναπτήσεται ἡ γῆ βοῶσα αὔτη κατ' ἐμοῦ;
Ἰδοὺ οὐκ ἔσθ' ὅτι ποτὲ δυνήσομ' ἀποκρίνεσθαι·
ἀλλὰ ὑπὸ αἰσχύνης μου κύψας χαμαὶ τὴν κεφαλὴν
ἐνώπιόν σου στήσομαι τρέμων καὶ θορυβούμενος.

—

Οὐαὶ τῷ ταλαιπώρῳ μοι! τί εἴπω; πρὸς Σέ Κύριε,
κεκράξομαι τὸν ἀγαθόν. Τί κατατρύχομαι σιγῶν!
πλὴν καὶ ἐὰν λαλήσω Σοι τὸ ἄλγος μου διαμενεῖ
οὐκ ἠρεμήσει πώποτε· καὶ ἂν σιγήσω, Κύριε,
πικρία καταπίκρῳ μου ἐντὸς κατοδυνήσομαι.
Ἐπολοφύρου μου ψυχὴ ὡς νύμφη ἡ χηρεύουσα
ἐπὶ τῷ μνήστορι αὐτῆς ἀνδρὶ ἀλόχῳ ἑαυτῆς.
Ὀδύρου καὶ ὀλόλυζε ψυχὴ ἀθλία, ὅτι σέ
ὁ σὸς νυμφίος ὁ Χριστὸς εἰκότως ἀπεπέμψατο.
Ἀλλὰ μὴ οὕτως ἐπ' ἐμὲ ποτ' ἐφορμήσαις Κύριε!
οὔποτε γὰρ ἂν ἐν ἐμοὶ Σὺ ἐγχωρήσειας Χριστέ ;
πάντῃ οὐκ' ἔστιν ἐν ἐμοὶ οὐδέν, ὅπερ δυνήσαιτο
ἂν ὅλως ὑπομεῖναί Σε. Οἴτειρόν με, φιλάνθρωπε
μὴ ἀπογνοίην κομιδῇ· ἀλλὰ καὶ ἔν τῷ ἐμαυτὸν
ἀπογινώσκειν, Κύριε, ἔτι ἂν ἀναπνεύσαιμι.
Εἰ δὴ ἐγὼ κατέπραξα ὧν ἕνεκεν πρεπόντως με
καταδικάσαις, Κύριε, Σὺ οὐκ ἀπέθου, Κύριε,
ὅθεν περ σώζειν εἴωθας.

—

Οὐ γὰρ Σὺ θέλεις, Δέσποτα, τὸν θάνατον ἁμαρτωλῶν
οὐδ' ἐπιχαίρεις, Κύριε, τῇ ἀπωλείᾳ τῶν θνητῶν

μᾶλλον δ' αὐτὸς εἵλου θανεῖν ἵν' ἀναστῶσιν οἱ θνητοὶ
καὶ ἔχωσι ζωὴν ἐν Σοί. Ὁ θάνατος ὁ σός, Χριστὲ
τὸν θάνατον ἁμαρτωλῶν εἰς τέλος τεθανάτωκεν.
Σοῦ τεθνηκότος, Κύριε, αὐτοί γε ἐξανέστησαν.
Καὶ, καθικετεύων Σε Σοῦ δέομαι, φιλάνθρωπε,
ἵνα μή, ζῶντος Σοῦ Χριστέ, αὐτὸς ἐγὼ τεθνήξαιμι.
ἔκτεινον ἐκ τοῦ ὕψους σου τὴν χεῖρα σου καὶ ῥῦσαί
ἀπὸ ἐχθρῶν μου τῆς χειρός· μηδὴ ἐπιχαρείησαν, [με
μὴ εἴποιέν ποτε αὐτοί, δεῦτε καὶ ποιησώμεθα
αὐτὸν βορὰν ἡμῶν αὐτῶν. Τίς ὑπεράγαθε Θεέ,
Κύριε Ἰησοῦ Χριστέ, δυσπίστως ἕξει πρὸς τὴν σὴν
φιλανθρωπίαν πώποτε, ὁπότε σὺ ἐχθροὺς ἡμᾶς
ὄντας διὰ τοῦ σεαυτοῦ αἵματος ἐξηγόρασας
καὶ τῷ πατρὶ κατήλλαξας; Ἰδοὺ δὴ τοίνυν, Κύριε,
ὑπὸ τῇ τοῦ ἐλέους σου σκιᾷ ἐγὼ σκεπόμενος
ἐπὶ τὸν θρόνον σου αὐτῆς τῆς δόξης προσαφίξομαι.
Τρέχων αἰτοῦμαι, κράζω σοι κρούω ὡς οἰκτειρήσῃς με,
εἴπερ εἰς ἄφεσιν αὐτὸς ἡμᾶς ἀνεκαλέσω Σὺ
μή τοι ζητοῦντας, Κύριε, πόσῳ δὴ μᾶλλον νῦν ἡμῖν
ἐκλιπαροῦσι τοῦ τυχεῖν ἀφέσεώς ἁμαρτιῶν
δυσωπηθήσει, ἀγαθέ;
Μὴ δὴ μνησθείς, ὦ Ἰησοῦ Χριστέ, δικαιοσύνης σου
κατὰ τοῦ ἁμαρτήσαντος· ἀλλὰ τῆς Σῆς χρηστότητος
μνήσθητι πρὸς τὸ πλάσμα σου· Μὴ τῆς ὀργῆς τῆς
[κατ' ἐμοῦ
τοῦ ὑπευθύνου σὺ μνησθῇς, ἀλλὰ τοῦ πλήθους,
μνήσθητι τοῦ ἐλέους σου. [Κύριε,
Ὢ ἐπιλάθου, ὁ Θεός, τοῦ ἀλαζόνος τοῦ πτωχοῦ

προκαλουμένου Σε θερμῶς καὶ ἴδ' ἐπὶ τὸν δύστηνον
τὸν Σὲ ἐπικαλούμενον. Τίς γὰρ δὴ ἔστιν 'Ιησοῦς
ἀλλ' ἢ σωτήρ,ὡς κέκληται ; τοιγάρ τοι διὰ Σὲ αὐτὸν
ὦ 'Ιησοῦ, ἀνάστηθι εἰς τὴν ἐμὴν βοήθειαν·
εἰπὲ δὴ τῇ ἐμῇ ψυχῇ, ἐγὼ ἡ σωτηρία σου·
ὡς ἄγαν, Κύριε, ἐγὼ εὑρίσκομαι ἐπιθαρρῶν
τῇ ἀγαθότητι τῇ Σῇ. Ὅτι σὺ Κύριε,αὐτὸς
Σὺ εἰ ὁ ἐκδιδάξας με αἰτεῖν καὶ κρούειν καὶ ζητεῖν,
καὶ διὰ τοῦτο πίσυνος τῇ ὑποθήκῃ σου, Χριστέ,
αἰτῶ καὶ κρούω καὶ ζητῶ.
Σὺ ὁ κελεύων με αἰτεῖν,ποίησον ὅπως λάβω τε
ὁ παραινῶν δή με ζητεῖν, δὸς ἵνα εὕρω ἐκζητῶν
ὁ δὲ διδάσκων κρούειν με, διάνοιξόν μοι κρούοντι.
Σὺ ἀτονοῦντα στήριξον, ἀπολωλότα δὴ αὐτὸς
αὖθις ἀποκατάστησον, καὶ νεκρωθέντα ἔγειρον
καὶ πάσας τὰς αἰσθήσεις μου καὶ τὰς διενθυμήσεις
καὶ πράξεις ἀπευθύνειν με καὶ διεξάγειν, Κύριε, [μου
πρὸς τὸ σοί γε εὐαρεστεῖν, ἀντιβολῶ, ἀξίωσον·
ὅπως ἂν τοῦ λοιποῦ κἀγὼ δουλεύων σοι διατελῶ,
σοὶ ζῶν σοὶ ὅλον ἐμαυτὸν ὑπάρχων ἀναθέμενος.

Οἶδα, Κύριε, ναὶ οἶδα ὡς ἐπεὶ ἐποίησάς με
ὅλον σοὶ ἐμὲ ὀφείλω, ἐπεὶ δ' ἐξηγόρασάς με
καὶ ὑπὲρ ἐμοῦ ἐγένου ἄνθρωπος, τί ἔτι πλέον
ἢ μὲ προσοφείλοιμί σοι, εἰ δὴ ἔχοιμι σοι δοῦναι,
ὅσον μείζων Σὺ εἶ τούτου ὑπὲρ οὗ ἐθελουσίως
δέδωκας σαυτὸν εἰς πάθη ; 'Ιδοὺ δ' ἄρα οὐδὲ πλέον
ἔχω τι τοῦ ἀποδοῦναι· οὔτε τοῦτο ὅπερ ἔχω

τοῦτ' αὐτὸ σοὶ δοῦναι ἔχω ἄνευ σοῦ τοῦ 'Ιησοῦ μου,
'Αλλ' αὐτὸς ἀντιλαβοῦ μου καὶ πρὸς Σὲ ἀνέλκυσόν με,
ἵνα σὸς ὦ τῇ μιμήσει, σὸς τελῶ καὶ τῇ ἀγάπῃ,
ὥσπερ σός εἰμι τῇ κτίσει σός τε καὶ τῇ καταστάσει
Σοῦ τοῦ ζῶντος εἰς αἰῶνας καὶ δεσπόζοντος τῶν
[πάντων.

ΚΕΦΑΛΑΙΟΝ ΛΘ'

Δέησις ὠφέλιμος

Ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ Θεὸς ὁ ἐν τριάδι
τῇ οὐσίᾳ ἑνιαῖος, ὁ ὢν πάντοτε ἐν πᾶσι,
καὶ πρὸ πάντων ὢν ὑπέρ τε ἅπαντα αὐτὸς ὑπάρχων,
ὁ πρὸ ὢν ἐσόμενος τε, ὁ εὐλογητὸς Δεσπότης
Κύριος εἰς τοὺς αἰῶνας.
Σοὶ δὴ σήμερον, Θεέ μου, καὶ διὰ παντὸς Σοί,
[Σῶτερ,
ἀνατίθημι τὰ πάντα τὴν ψυχήν μου καὶ τὸ σῶμα,
ἀκοὴν καὶ ὅρασίν μου, ὄσφρησίν μου καὶ τὴν
[γεῦσιν,
τὴν ἀφήν, τὰς ἐνθυμήσεις, πράξεις τε καὶ διαθέσεις.
τὰ ἐντός μου, τὰ ἐκτός μου ἀνατίθημί Σοι πάντα.

Τὴν αἴσθησιν τὴν τῆς ψυχῆς καὶ τὴν διάνοιαν αὐτήν,
τὴν πίστιν τὴν ἐμὴν πρὸς Σὲ τὴν εὐπιστίαν μου, Θεέ,

ἀλλὰ καὶ τὴν ὑπομονὴν καὶ τὴν ἐμὴν εὐστάθειαν,
ἅπαντα παρατίθημι εἰς χεῖρας Σῆς δυνάμεως,
ὅπως ἂν ἐν ἡμέραις τε καὶ ἐν νυξίν, ἐν ὥραις τε
καὶ ἀκαρέσι τε ὡρῶν αὐτὰ διαφυλάττοις μοι.
Ἐπάκουσόν μου, ὦ Τριὰς ἁγία, ἐκβοῶντός Σοι
καὶ διατήρησόν με Σύ, Θεέ, ἀπὸ παντὸς κακοῦ,
ἀπὸ σκανδάλου τὲ παντός, παντός τε παραπτώματος,
ἐνέδρας ἀπὸ πάσης τε, δαιμόνων τε ἐπιβουλῆς
καὶ ἀοράτων μου ἐχθρῶν.
Ἐπάκουσόν μου, Κύριε, Σοὶ νῦν προβαλλομένου μου
λιτὰς τὰς τῶν Πατριαρχῶν, δεήσεις τὰς τῶν Προ-
[φητῶν
καὶ τὰς πρεσβείας τὰς πρὸς Σε τῶν Θείων Ἀποστό-
[λων σου,
τὴν καρτερίαν τὴν πολλὴν τῶν ἱερῶν Μαρτύρων σου,
τὴν πίστιν τὴν ἁγνείαν τε παρθένων, ὁμολογητῶν,
καὶ τὰς ἐντεύξεις, Κύριε, ἁπάντων τῶν ἁγίων σου
τῶν εὐαρεστησάντων σοι κόσμου ἀπὸ καταβολῆς.

—

Ἀπέλασον δὴ ἀπ' ἐμοῦ τῆς διανοίας ἔπαρσιν,
ἐπίτεινόν μοι, δέομαι, τὴν τῆς καρδίας συντριβὴν
καὶ δὸς αὐτῇ κατάνυξιν· τὸν τῦφόν μοι κατάστειλον
καὶ τὴν ἀλαζονείαν μου καὶ ἐν ἐμοὶ ταπείνωσιν
κατάρτισον ἀληθινήν. Εἰς θρῆνόν με διέγειρον,
μάλθαξον τὴν καρδίαν μου τὴν πωρωθεῖσαν, Κύριε.
Ἀπὸ πασῶν τῶν ἐνεδρῶν τοῦ πολεμήτορος αὐτοῦ
Σὺ τὴν ψυχήν μου ῥῦσαί μοι καὶ ἐν τῷ Σῷ βουλή-
[ματι
Σὺ μὲ συντήρησον, Θεέ.

Σὺ δίδαξόν με, Κύριε, τὸ σὸν ποιεῖν με θέλημα,
ὅτι Σὺ ὁ Θεός μου εἶ.
Σύ, Κύριε, παράσχου μοι τελείαν δὴ συναίσθησιν
καὶ σύνεσιν τοῦ συνορᾶν τὴν ἐπιείκειαν τὴν Σὴν
καὶ τὴν χρηστότητα τὴν σήν.
Δὸς παρὰ σοῦ αἰτεῖσθαί με τὸ Σοὶ ἀεὶ εὐαρεστοῦν
κἀμοὶ συμφέρον δὲ τελοῦν.
Δός μοι, Θεέ μου, δάκρυα ἐκ πόθου ἀκραιφνοῦς πρὸς
ἀναπηδῶντα ἔσωθεν, δι' ὧν ἂν διαρρήξαιμι [Σε
τῶν ἁμαρτάδων μου σειράς,
Ἐπάκουσόν μου, Κύριε, ἐπάκουσόν μου ὁ Θεὸς!
καὶ δὸς ἅπερ αἰτοῦμαί Σε, ἵν' εἴην Σε αἰτούμενος,
ὑπὲρ ὧν ἂν ἐμοῦ αὐτὸς Σὺ εἰσακούσειας Θεέ!
Ἂν παριδὼν παρίδῃς με, ἐγὼ εὐθὺς ἀπόλλυμαι·
ἐὰν μοὶ ἐπιβλέψῃς, ζῶ.
Ἐὰν δικαιοσύνην δὲ Σὺ ἐκζητήσῃς ἐξ ἐμοῦ,
ἤδη ἐγὼ νεκρός εἰμι καὶ ὄζω· ἂν ἐπόψῃ δὲ
ἐπὶ τὸ ἔλεος τὸ σόν, μὲ ὀδωδότα ἀνιστᾷς
ἀπὸ τοῦ τάφου, Κύριε.

Ὡς πορρωτάτω, Κύριε, ἀπότρεψον Σὺ ἀπ' ἐμοῦ
πᾶν ὃ Σὺ ἀποστρέφεσαι, καὶ ἐν ἐμοὶ κατάσπειρον
Πνεῦμα ἁγνείας, δέομαι, καὶ σωφροσύνης ὁ Θεός,
ἵν' εἴτι ἂν αἰτήσωμαι ἐν τῷ αἰτεῖσθαί γε αὐτῷ
μηδὲν προσκρούων Σοί ποτε ὀφθείην, Κύριε Θεέ.
Ἄφελε ἅπαν τὸ ἐμοὶ πάθος προσλυμαινόμενον
καὶ Σὺ ἀντιπαράθου μοι πᾶν ὅ,τι μοι ὠφέλιμον.
φάρμακόν μοι ἐπόρεξον δι' οὗ ἐξιαθήσονται,
Θεέ, αἱ τραυματίαι μου. Δώρησαί μοι, παρακαλῶ,

τὸ Σὲ φοβεῖσθαι, Κύριε. Χάρισαί μοι κατάνυξιν
φρονήματος ταπείνωσιν καὶ καθαρὰν συνείδησιν.
χάρισαί μοι τὸ δύνασθαι σώζειν δείποτε, Θεέ,
ἀγάπην τὴν ἀδελφικὴν· καὶ μὴ ἐπιλανθάνεσθαι
τῶν φαυλοτήτων τῶν ἐμῶν καὶ μὴ διεξετάζειν με
τὰς τῶν πλησίων μηδαμῶς.

Φεῖσαι τῆς ψυχῆς μου Σῶτερ, φεῖσαι τῶν μοχθη-
[ριῶν μου,
φεῖσαι τῶν ἀνομιῶν μου, φεῖσαί μου τῶν ἐγκλημάτων.
Σὺ ἐπίσκεψαί με, Σῶτερ, ἀνιάτως ἀσθενοῦντα
καὶ θεράπευσον νοσοῦντα. ἴασαι παραλυθέντα,
ἔγειρόν με νεκρωθέντα. Δός μοι, Κύριε, καρδίαν
Σὲ ἀπαύστως φοβουμένην καὶ ψυχὴν Σὲ ἀγαπῶσαν,
αἴσθησιν κατανοοῦσαν ὦτα ὑπακούοντά σοι,
ὄμματα Σὲ καθορῶντα. Ὁ Θεὸς ἐλέησόν με,
ἐπ' ἐμὲ ἐπίβλεψόν τε ἀπὸ θρόνου τῆς σῆς δόξης
καὶ τῆς Σῆς μεγαλωσύνης, καὶ καταύγασον ἀκτῖσι
τοῦ φωτὸς τοῦ Τρισηλίου τὴν καρδίαν σκοτισθεῖσαν.
Δίδου Κύριέ μοι γνῶσιν διακρίσεως τελείας
ἀσφαλῶς τοῦ διαστέλλειν μέσον ἀγαθοῦ κακοῦ τε.
αἴσθησίν τε δώρησαί μοι ἔχειν γρήγορον ὀξεῖαν.
Ἐπὶ τούτοις καὶ πρὸ τούτων ἄφεσιν παραπτωμάτων
παρὰ σοῦ νῦν ἐξαιτοῦμαι, Κύριε, ὑφ' οὗ δι' ὅν τε
γένοιτο ἐξιλασμός μοι ἐν καιρῷ ἀνάγκης πάσης
θλίψεως στενοχωρίας.

—

Μαρία ὑπεράμωμε ἁγνὴ ὑπεραγία
ἄχραντε κόρη ἄσπιλε θεόνυμφε Κυρία,

παρθένε μήτηρ τοῦ Χριστοῦ, ἄφθορε Θεοτόκε,
ἀξίωσον ὑπὲρ ἐμοῦ μεσίτρια γενέσθαι
πρὸς Κύριον. οὗ ἔμψυχος ναὸς ἐγένου Κόρη.
Πρὸς δὲ ὑμεῖς, ὦ Μιχαὴλ καὶ Γαβριὴλ καὶ πάντες
τῶν Ἀρχαγγέλων οἱ χοροὶ ἁγίων τε Ἀγγέλων,
τὰ στίφη τῶν Πατριαρχῶν, τῶν Προφητῶν τὸ πλῆθος.
Τῶν Ἀποστόλων ὁ χορός, τῶν Εὐαγγελιστῶν τε,
Μαρτύρων ὁμολογητῶν, τάξεις τῶν ἱερέων,
τῶν Λευϊτῶν, τῶν Μοναστῶν, τὸ τάγμα τῶν Παρθένων
καὶ πάντων τῶν δικαίων τε. Ὑμεῖς καθικετεύσατε
τὸν ἐκλεξάμενον ὑμᾶς πρεσβεύοντες ὑπὲρ ἐμοῦ
τοῦ ταπεινοῦ ἁμαρτωλοῦ ρυσθῆναί με τοῦ πονηροῦ
καὶ τοῦ θανάτου τοῦ μηδὲν τέρμα καθ' ὅλου ἔχοντος
κατὰ τὴν ὑπεράγαθον φιλανθρωπίαν τὴν αὐτοῦ
καὶ ἔλεος ἀμέτρητον.

—

Δός, Κύριέ μου Ἰησοῦ Χριστέ, τοῖς Ἱερεῦσιν
ἑνότητα ὁμόνοιαν καὶ τὴν ὁμοφροσύνην,
τοῖς ἄρχουσι, τοῖς ἰσχυροῖς πᾶσι τοῖς Βασιλεῦσι,
τοῖς δικασταῖς τοῖς κρίνουσι γαλήνην καὶ εἰρήνην.
Ἔτι σοῦ δέομαι Χριστὲ ἐκ βάθους τῆς καρδίας
ὑπὲρ τῆς Ἀποστολικῆς ἁγίας Ἐκκλησίας.
Ὑπὲρ ἀνδρῶν καὶ γυναικῶν, μοναστικῶν ἐγγάμων,
ὑπὲρ τῶν κυβερνώντων τε τὸ κράτος τοῦ λαοῦ σου
καὶ ὑπὲρ πάντων τῶν εἰς Σέ, Κύριε, πιστευόντων
καὶ ἐξ ἀγάπης τῆς πρὸς Σὲ ἀπαύστως κοπιώντων,
ἵν' ἐπιμόνως περὶ ἃ ἔργα ἐπασχολῶνται
ἐνασχολούμενοι αὐτοὶ ἀεὶ διατελῶσιν.

Χάρισαι δέ, παμβασιλεῦ, τὰ ἀρεστὰ Σοι πᾶσιν,
Δὸς δὴ τοῖς παρθενεύουσιν ἁγνότητα τελείαν
καὶ ταῖς ἐν συζυγίᾳ δὲ δίδου ἁγιωσύνην,
τοῖς ἐν τῇ μετανοίᾳ δὲ δίδου αὐτοῖς συγγνώμην
ταῖς χήραις καὶ τοῖς ὀρφανοῖς ἐπάρκειαν ταῖς χρείαις,
τοῖς πενομένοις χορτασμόν, ἐπάνοδον τοῖς ξένοις,
τοῖς δὲ πενθοῦσι, Κύριε, δίδου παραμυθίαν,
τοῖς δὲ ἀποιχομένοις τε πρὸς λῆξιν αἰωνίαν
ἐν πίστει ἐπανάπαυσιν ζωήν τε μακαρίαν,
ὅρμισμα δὲ σωτήριον δὸς τοῖς ναυτιλλομένοις·
δὸς δὲ τοῖς ἐν χρηστότητι ἀρίστοις δεξιάν σου,
τοῖς δὲ ἐν ἀγαθότητι μετρίοις τὴν ἰσχύν σου
πρὸς εὐχερῆ ἐπίδοσιν ἀεὶ ἐπὶ τὸ κρεῖττον,
τοῖς φαύλως δὲ καὶ πλημμελῶς ἀεὶ διακειμένοις
τὴν ἐπανόρθωσιν αὐτοῖς τοῦ βίου δὸς ταχεῖαν.

—

Ὦ Κύριε μακρόθυμε, Χριστέ μου πολυεύσπλαγχνε,
Υἱὲ καὶ Λόγε τοῦ Θεοῦ τοῦ ζῶντος παντευλόγητε,
ὁ κόσμου ῥύστης καὶ σωτήρ, εἰμί Σοι καθομολογῶ
ἁμαρτωλὸς ἐλεεινὸς ἐν μέσῳ πάντων τῶν βροτῶν
καὶ ὑπὲρ ἅπαντας βροτοὺς καὶ κατὰ πάντα ἄθλιος.
Ἀλλὰ Σύ, πάτερ ὕψιστε, ὁ ὑπεράγαθος Θεός,
ὁ κατοικτείρων ἅπαντας, μὴ συγχωρήσῃς Κύριε
ἀλλότριον ὀφθῆναί με τοῦ πλήθους τοῦ ἐλέους σου,
ὦ Κύριε παμβασιλεῦ· ὁ δοὺς τοῦ ζῆν με ἀνοχὰς
παράσχου μοι διόρθωσιν καὶ ἀφοσιωθῆναί σοι
διορθωθέντα, Κύριε.
Τὸν νοῦν μου Σὺ διέγειρον ὥστε ἀεὶ Σὲ ἐκζητεῖν,

Σὲ Κύριε ἐπιποθεῖν τὸν ὄντα ὅλον πανταχοῦ
τὸν ἕνα καὶ τριαδικὸν καὶ Σὲ ἀείποτε φιλεῖν
καὶ Σὲ φοβεῖσθαι πάντοτε καὶ τὸ σεπτόν σου θέλημα
καὶ ἅγιόν με ἐκτελεῖν.
Ἀλλ' ἐξαιρέτως, Δέσποτα πανάγιε, Σοῦ δέομαι
καὶ ἱκετεύω Σε θερμῶς τὸν ὑπερύμνητον Θεὸν
ὑπερευλογημένον τε ὄντα καὶ ὑπερένδοξον
εἰς τοὺς αἰῶνας ἅπαντας ὑπὲρ ἁπάντων εὐσεβῶν
τῶν ποιουμένων, Κύριε, ἐν ταῖς ἐντεύξεσιν αὐτῶν
μνήμην ὑπὲρ ἐμοῦ πρὸς Σέ, καὶ ἐπισυνιστώντων τε
ἀμοιβαδὸν τὰς ἑαυτῶν αἰτήσεις ταῖς δεήσεσι
ταῖς ἀναξίαις ταῖς ἐμαῖς, καὶ δὴ προθυμουμένων τε
ἐπιτελεῖν περὶ ἐμὲ ἔργον εἴ τι χρηστότητος
καὶ ἔργον ἀγαπήσεως· ἀλλὰ καὶ ὑπὲρ τῶν κατὰ
τοῦ γένους οἰκειότητα ἢ ἀγχιστείαν ὁπωσοῦν,
Κύριε, προσηκόντων μοι τῶν ἔτι ἐν τῷ σώματι
ἐν Κόσμῳ περιόντων τε, καὶ τῶν ἀποιχομένων τε
καὶ ἤδη τῷ χοΐ ἐν γῇ ὑποκαλυπτομένων τε,
ἅπαντας δέομαι αὐτοὺς τῆς σωτηρίας τεύξασθαι
ἕνεκεν τοῦ ἐλέους σου, ὥστε μηδένα ἐξ αὐτῶν
ἐξαπολέσθαι, Κύριε.

—

Εὐδόκησον δή, Κύριε, καὶ πᾶσι τοῖς χριστιανοῖς
ζῶσι μὲν εἶναι βοηθὸς ἕτοιμος εἰς ἀντίληψιν,
τοῖς πίστει τεθνεῶσι δὲ εἰς ἄφεσιν ἁμαρτιῶν
καὶ εἰς ἀνάπαυσιν αὐτῶν τὴν μακαρίαν, Κύριε.
Κἀκεῖνο δὲ ὡς μάλιστα καθικετεύω, Κύριε,
ὅστις ὑπάρχεις ὡς ἀεὶ τὸ Ἄλφα τὸ Ὠμέγα τε,

ἵν᾽ ὅταν ἐπιφθάσῃ με ἡμέρα ἡ ἐσχάτη μου
καὶ ἐπιστῇ μοι τῆς ζωῆς τὸ τέρμα ὁ Θεός μου,
τότε δὴ κατὰ τοῦ ἐμοῦ δολίου κατηγόρου
τοῦ δαίμονος τοῦ πονηροῦ αὐτὸς κριτής μοι εἴης
συνήγορος προστάτης τε κατὰ τοῦ ἐπιβούλου
ἀρχαίου πολεμήτορος. Κἀμὲ τοῖς τῶν Ἀγγέλων σου
καὶ τῶν ἁγίων σου χοροῖς συνθιασώτην, Κύριε,
Σὺ κατατάξαις ὁ Θεὸς ὁ ὢν ἀεὶ εὐλογητὸς
εἰς τοὺς αἰῶνας ἅπαντας. Ἀμήν.

———

ΚΕΦΑΛΑΙΟΝ Μ'

Δέησις ἱκετήριος ἐν ἀναμνήσει τοῦ πένθους τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ

Ὦ Κύριε μου Ἰησοῦ Χριστέ, τὸ λύτρον τὸ ἐμὸν
τὸ ἔλεός τε τὸ ἐμόν, ἡ σωτηρία ἡ ἐμή,
πολλὰς ἐφίεμαι ἐγὼ Σοὶ ἀναπέμψαι εὐλαβῶς
εὐχαριστίας μου θερμάς, ἀνίσους οὔσας δὲ πολλῷ
τῶν εὐεργετημάτων σου· εἰ καὶ τῆς ἐπικλήσεως
τῆς προσηκούσης εὐλαβοῦς ὡς λίαν ὑπολείπονται·
εἰ γλίσχρας τε καὶ αὐχμηρὰς ταύτας προσφέρω, Κύ-
καὶ ὑποδεεστέρας τε τῆς ἐφετῆς ποιότητος, [ριε,
τοῦ γλυκυτάτου πόθου Σου. Εὐχαριστίας ἀλλὰ οὖν,
οὐχ ὅσας προσοφείλω σοι, οἶδα, ἀλλ᾽ ὅσας δύναται
κατὰ τὸ πρόθυμον αὐτῆς σοι ἀπονέμει ἡ ψυχή.

Ὦ τῆς καρδίας τῆς ἐμῆς ἐλπὶς ἡ ἀδιάλειπτος,
ἰσχὺς τῆς διανοίας μου, ἐπαναπληρωσάτω δὴ
ἡ πανσθενὴς σου δύναμις ὃ ἐκτελέσαι βούλεται
ἡ χαλαρότης τῆς ἐμῆς τῆς ἄκρας ἀβληχρότητος!
Ὦ ἡ ζωή μου! Σὺ μου εἶ ὁ ὅρος τῆς ἐντάσεως,
καὶ εἴ γε μήπω ἄξιος ἐγὼ τόσον πολλοῦ καλοῦ
ὅσον ὀφείλω Σε φιλεῖν, πάντως μέντοι τοὐλάχιστον
ἐπιποθῶ Σε ἀγαπᾶν κατὰ τὸ ὀφειλόμενον.
Σὺ φωτισμὸς εἶ ὁ ἐμός, Σὺ μου ὁρᾷς τὸ συνειδός,
ὅτι κατ᾽ ἐναντίον σου πᾶσα ἐπιθυμία μου
καὶ Σὺ εἴτί ποτ᾽ ἀγαθὸν ἐπιποθοῦσ᾽ ἐπιθυμεῖ
δωρεῖσαι τῇ καρδίᾳ μου. Εἶ δήπερ ἀγαθόν ἐστι,
ὅπερ ἐμπνέεις Κύριε· μᾶλλον δὲ ἐπεὶ ἀγαθὸν
ἐστὶ τὸ βούλεσθαι ἐμέ, Σὲ Ἰησοῦ μου, ἀγαπᾶν,
δὸς ὃ ποιεῖς με βούλεσθαι· δὸς ἵνα ὅσον Σὺ ἐμοὶ
κελεύεις Σέ με ἀγαπᾶν, τοσοῦτον ἄξιος ἐγὼ
γένωμαι ἀγαπῆσαί Σε. Αἶνους εὐχαριστίας τε
προσάγω σοι, ὅπως ἂν μὴ ᾖ μοι ἀτελεσφόρητον
τουτὶ τὸ δώρημα τὸ σὸν ὃ εὐδοκήσας πρὸς ἐμέ,
Κύριε, ἐδωρήσω μοι. Ἐκτέλεσον ὅπερ ἐμοὶ
ἐπήρξω, Κύριε, ποιεῖν, καὶ χάρισαι ὃ εὐμενῶς
προφθάσας με ἐπιποθεῖν ἐποίησας, φιλάνθρωπε,
τὸν ἥκιστά με ἄξιον. Τρέψον, ὢ ὑπεράγαθε,
εἰς πόθον ζέοντα πρὸς σὲ τὴν νάρκωσιν τὴν ἐν ἐμοί·
εἰς τοῦτο πολυεύσπλαγχνε τείνει μου ἡ παράκλησις,
εἰς τοῦτο ἡ μελέτη μου καὶ ἡ ἐπαναπόλησις
τῶν εὐεργετημάτων σου, ἵν᾽ ἐξανάψῃς τὴν πρὸς Σὲ
ἀγάπησίν μου, Κύριε.

—

Δέσποτα ἡ ἀγαθότης ἡ πολλή σου ἔπλασέ με
καὶ ἡ σή με εὐσπλαγχνία, καθαρὸν πλαστουργηθέντα,
εἶτα καταρρυπωθέντα ρύπῳ τῷ τῆς ἁμαρτίας
ἀνεκάθηρέ με αὖθις. Ἡ Σὴ δύναμις, Θεέ μου.
καὶ μετὰ τὴν κάθαρσίν μου διὰ τοῦ βαπτίσματός σου,
ἐμοῦ ἀνακυλισθέντος εἰς βυθὸν ἀνομημάτων,
βόρβορον ἁμαρτημάτων ἄχρι τοῦδε μακροθύμως
μου ἠνέσχετο καὶ βρώσει διεθρέψατο πεινῶντα
καὶ βραδύνονθ᾿ ἕως ἄρτι αὐτὴ περιέμεινέ με.
Περιμένεις Σὺ μὲ πάντως ἡ ἀπειροαγαθότης
ναὶ τὴν ἐπανόρθωσίν μου· περιμένει δ᾿ ἡ ψυχή μου
τὴν πρὸς τὸ μετανοῆσαι καὶ καλῶς ἑξῆς με ζῆσαι
ἔμπνευσιν τῆς χάριτός σου.
Ὁ Θεὸς ὁ ποιητής μου, ὁ καὶ ἀνεχόμενός μου,
ὁ πεινῶντα διατρέφων, ὡς πεινῶ Σε, ὡς διψῶ Σε,
ὡς ἐγὼ ἱμείρομαί Σου, καὶ πρός Σὲ ἐπιστενάζω,
ὑπεργλίχομαι πρὸς Σὲ δὲ ὡσεὶ νήπιον δὴ κλαῖον
ὃ τῆς τοῦ πατρὸς γλυκείας παρουσίας ἐστερήθη
καὶ ἀπαύστως ὀλολῦζον περιπλέκεται ἐκείνου
ὄψιν τὴν ποθεινοτάτην ὅλῃ τῇ αὐτοῦ καρδίᾳ,
οὕτω καὶ ἐγὼ οὐχ ὅσον, Κύριε, Σοὶ προσοφείλω,
ἀλλὰ τόσον ὅσον σθένω, μνήμων ὢν τοῦ θείου πάθους,
μνήμων τῶν κολαφισμῶν σου ὧνπερ ἔτλης ὑπὲρ [πάντων,
τῶν μαστίγων, τῶν μωλώπων· μεμνημένος ὅτι θέλων
ἀνῃρέθης ὑπ᾿ ἀνόμων, ἐκηδεύθης καὶ ἐτάφης,
ἐπιμιμνησκόμενός τε ἅμα δὲ καὶ τῆς ἐνδόξου
Κύριε ἐγέρσεώς σου καὶ τῆς ἀναλήψεώς σου,

πίστει δὲ ἀνενδοιάστῳ ταῦτα ἅπαντα κατέχων
τῆς ἐμῆς μὲν ἐξορίας ὀλοφύρομαι ὁ τάλας,
πλὴν παραμυθίαν ἔχω τὴν ἐκ τῆς Σῆς παρουσίας
καὶ τῷ πόθῳ πυρπολοῦμαι εἰς ἀπόλαυσιν ἐλθεῖν με
τῆς ἐνδόξου καὶ φωσφόρου ὄψεως τοῦ σοῦ προσώπου.

—

Οἴμοι ὅτι οὐ κατεῖδον τὸν Δεσπότην τῶν Ἀγγέλων, [δι᾿ ἡμᾶς ταπεινωθέντα
ἄχρι τοῦ καὶ τοῖς ἀνθρώποις σὺν ἡμῖν ἀναστραφῆναι,
ὅπως ἀνυψώσειεν ἂν τοὺς ἀνθρώπους πεπτωκότας
πρὸς τὴν μετὰ τῶν ἀγγέλων συναναστροφὴν ἁγίαν·
ὅτε διὰ τοὺς ἀνθρώπους ὁ Θεὸς ἐνανθρωπήσας
ἐν σταυρῷ ἐθανατοῦτο καὶ τὸ σῶμα ἐνεκροῦτο
ᾧ προσέκρουσεν ὁ πταίσας ἄνθρωπος διολισθήσας,
ἵνα ὁ Θεῷ προσκρούσας ἄνθρωπος ζωὴν προσλάβῃ·
οἴμοι οὐ γὰρ ἠξιώθην παραστῆναι καὶ ἐκστῆναι
ἐπὶ τῆς ἀνεξεικάστου θαυμαστῆς δε οὕτω σφόδρα
τοῦ Θεοῦ φιλανθρωπίας·
Ἵνα τί σε οὐ διῆλθεν, ὦ ψυχή, ἡ ὀξυτάτη
καὶ ἀμφίστομος ρομφαία μᾶλλον; οὐ γὰρ ἂν τετλαίης
τὴν πλευρὰν θεάσασθαι σὺ τοῦ σὲ σώζοντος Δεσπότου
λόγχ᾿ αὐτὴν τιτρωσκομένην· ἐπεὶ οὐκ ἂν ὑπενέγκαις
ἥλοις διαπεπαρμένον καθορᾶν χεῖρας καὶ πόδας
ναὶ τὸν πλαστουργήσαντά σε. Φρίκη γὰρ ἂν συνεσχέθης
ἐκχεόμενον ὁρῶσα ἐπὶ γῆς αὐτοῦ τὸ αἷμα
τοῦ σε ἐκλυτρωσαμένου.

—

Πῶς οὐχὶ οὐκ ἐμεθύσθης δάκρυσι πολλῆς πικρίας
τοῦ Κυρίου γευσαμένου τῆς χολῆς μετὰ τοῦ ὄξους;
πῶς οὐκ ἂν τῇ ὑπεράγνῳ συνεπάθησας παρθένῳ
καὶ μητρὶ ὑπερενδόξῳ καὶ Δεσποίνῃ σου Μαρίᾳ ;

—

Ὦ Δέσποινα Κυρία μου Παρθένε ὑπερεύσπλαγχνε,
πόσας ἂν εἴποιμι πηγὰς δακρύων ἄρα θαλερῶν
ἐκ τῶν ἀμώμων ὀφθαλμῶν ἐκχεομένας, ἄχραντε,
παρισταμένης τότε σου τῷ σῷ υἱῷ μονογενεῖ
τῷ πάντῃ ἀνευθύνῳ τε ἀναμαρτήτῳ καὶ ἁγνῷ,
μαστιγουμένῳ ὑπ᾽ ἀνδρῶν ἀνόμων καὶ ἁμαρτωλῶν
καὶ σφαγιαζομένῳ τε ἐνώπιον σου ὡς ἀμνῷ,
ἡλίκους ἂν πιστεύσαιμι κλαυθμούς σε τε καὶ ὀδυρμοὺς
τὸ μητρικόν σου πρόσωπον, παρθένε, καταχέασθαι
τὸν σὸν Υἱὸν ἐπὶ σταυροῦ ὁρώσης καθηλούμενον
καὶ τὴν ἐκ τῆς σαρκὸς τῆς σῆς σάρκα αὐτὴν ἀνηλεῶς
σπαρασσομένην, Δέσποινα, ὑπὸ ἀνόμων σταυρωτῶν;
Τίσι λυγμοῖς δέ ἆρά γε στέρνα τὰ καθαρώτατα
φεῦ ! κατατρυχωθῆναί σου, ὁπότε ἀκηκόεις τό,
Ὦ μῆτερ, ἴδ᾽ ὁ σὸς Υἱός ! εἶτα τῷ φίλῳ μαθητῇ,
ἰδοὺ ἡ μήτηρ σού ἐστιν ; ὁπότε ἀνεδέχου τε
τὸν μαθητὴν ἀντὶ τοῦ σοῦ Υἱοῦ τοῦ διδασκάλου τε,
ἀντὶ δὲ τοῦ Δεσπόζοντος ἐδέχου τὸν θεράποντα ;

—

Ὦ εἴθε σὺν τῷ Ἰωσὴφ κἀγώ Σε ἀπὸ τοῦ σταυροῦ
καθεῖλον τὸν Δεσπότην μου καὶ μύροις καὶ ἀρώμασιν
εἱλήσας ἀπεθέμην Σε ἐν τῷ μνημείῳ τῷ καινῷ !
ἢ γοῦν συμπρουπεμψάμην Σε καὶ δὴ συνηκολούθησα
ὡς συντελέσαι τι κἀμὲ ἐπὶ κηδείας τῆς σαυτοῦ

καὶ τι συνδιαπράξασθαι, μηδὲ τῆς ὑπουργήσεως
ἀπολειφθῆναι παντελῶς. Συνάμα εἴθε καὶ ἐγὼ
σὺν μυροφόροις γυναιξὶ ταῖς μακαρίαις ἀληθῶς
συνεξεπλάγην καὶ ἐγὼ ἐπὶ τῇ Θέᾳ τῶν λευκῶν
Ἀγγέλων τῶν φωτολαμπῶν, ἐκείναις συνακουτισθεὶς
τὸ τῆς ἐγέρσεως Χριστοῦ Κυρίου Εὐαγγέλιον !
Τὸ θεῖον εὐαγγέλιον ἁπάσης παρακλήσεως,
τὸ ἐπιπροσδοκώμενον τοσοῦτον Εὐαγγέλιον
τὸ οὕτω τε ποθούμενον! Ὦ εἴθε ναί, φημί, κἀγὼ
ἐκ τοῦ ἀγγελικοῦ αὐτοῦ ἐνωτιζόμην στόματος
τὸ θεῖον Εὐαγγέλιον ! Εἰπόντος, μὴ φοβεῖσθε ὑμεῖς·
ζητεῖτε τὸν Ναζαρηνὸν τὸν σταυρωθέντα Ἰησοῦν ;
ἐγήγερται ὡς δυνατός, οὐκ ἔστιν ὧδε, εἴδατε,
ἐν τάφῳ τὰ ὀθόνια.
Γλυκύτατ᾽ εὐμενέστατε Κύριε γαληνότατε,
πότ᾽ ἀποκαταστήσεις δὴ κἀμὲ τὸν τηνικαῦτά γε
μηδόλως θεασάμενον τῆς μακαρίας σου σαρκὸς
τὴν ἀφθαρσίαν καὶ ζωήν, τὸν μὴ καταφιλήσαντα
τὰ ἴχνη τῶν μωλώπων σου, καὶ μὴ καταφιλήσαντα
τῶν ἥλων σου τὰ τραύματα, τὴν λογχευθεῖσάν σου
[πλευρὰν
τὸν μὴ χαρᾶς τε δάκρυα ἐπὶ τοῦ τῶν στιγμάτων σου
σώματος ἐπιχέαντα ;
Κύριε ὑπερθαύμαστε, Θεὲ ἀνεξιχνίαστε,
Χριστέ μου ἀπαράβλητε, πότε παραμυθήσεις με;
πότε τὸ ἄλγος τῆς ψυχῆς αὐτὸς Σὺ καταπαύσεις μου;
Οὐ γὰρ ἐκλείπει ἀπ᾽ ἐμοῦ τὸ ἄλγημά μου ἄχρις οὗ
εὑρίσκομαι ἀποδημῶν ἀπὸ τοῦ Ἰησοῦ Χριστοῦ,

τοῦ ποιητοῦ καὶ πλάστου μου τοῦ ἀγαθοῦ Κυρίου μου.
Οἴμοι ἐγώ, Ὦ Κύριε, οὐαὶ δὲ τῇ ἐμῇ ψυχῇ!
ὁ παρακλήτωρ τῆς ἐμῆς ψυχῆς ἀπέστης ἀπ' ἐμοῦ
καὶ οὐδὲ με προσείρηκας. Σὺ τὰς ὁδοὺς σου εἰσελθὼν
τοὺς σούς, Χριστέ, ηὐλόγησας· ἀλλ' οὐ παρήμην σὺν
[αὐτοῖς.
Ἄρας τὰς χεῖρας ἀπὸ γῆς ἀνῆλθες εἰς τοὺς οὐρανοὺς
ἀναληφθεὶς θεοπρεπῶς ὑπὸ νεφέλης φωτεινῆς
ἀλλ' οὐκ ἐθεασάμην Σε. Ἄγγελοι προκατήγγειλαν
Σὲ πάλιν ἐλευσόμενον, ἐγὼ δὲ οὐκ ἀκήκοα.
Τὶ εἴπω ; ἢ τί δράσω νῦν ; ποῖ δὲ τραπήσομαι ἐγώ ;
ποῦ ἐκζητήσω δὲ αὐτόν; ἢ πόθ' εὑρήσω τὸν Χριστόν;
τίνα ἐπερωτήσω δέ ; τίς τῷ ἠγαπημένῳ μοι
ἀναγγελεῖ ὅτι ἐγὼ ἐκ τῆς ἀγάπης τέτρωμαι ;
ἡ τῆς καρδίας μου χαρὰ ἐκλείπουσα ἐξέλιπεν,
ὁ γέλως δὲ ἐστράφη μου εἰς πένθος καὶ εἰς κοπετόν.
Ἡ σὰρξ καὶ ἡ καρδία μου ἐτάκη καὶ ἐξέλιπεν,
ὁ τῆς καρδίας μου Θεὸς καὶ ἡ μερίς μου ὁ Θεός,
Εἰς τὸν αἰῶνα ὁ Θεός. Κύριε, ἀπηνήνατο παρακλη-
[θῆναι ἡ ψυχὴ
ὑπ' ἄλλου εἰμὴ ὑπὸ Σοῦ, ὃς ἡ ἐμὴ γλυκύτης εἶ.
Τί γάρ μοι ἐν τῷ Οὐρανῷ ὑπάρχει, τί δὲ παρὰ Σοῦ
ἠθέλησα ἐπὶ τῆς γῆς ; Σὲ θέλω, σὲ δὲ προσδοκῶ,
σὲ ἐκζητῶ διὰ παντός, σοὶ εἶπεν ἡ καρδία μου,
ζητήσω μου τὸν Κύριον, τὸ πρόσωπόν σου, Κύριε,
ζητήσω τὸ εὐφραῖνόν με. Μὴ ἀποστρέψης ἀπ' ἐμοῦ
τὸ πρόσωπον σου, Κύριε.

—

Θεὲ ἡμῶν Φιλάνθρωπε ! Θεέ μου ὑπεράγαθε !
Σοὶ ὁ πτωχὸς ὁ ἐνδεής, Κύριε, καταλέλειπται·
Σὺ ἦσθα βοηθὸς ταχὺς τῇ χήρᾳ καὶ τῷ ὀρφανῷ,
ὦ κράτιστε συνήγορε ἐμοῦ τοῦ τάλανος πτωχοῦ
τοῦ ὀρφανοῦ τοῦ ἐνδεοῦς τοῦ ἐγκαταλειφθέντος σοι·
ἰδοὺ ἐγὼ ὡς νήπιον ὀρφανισθὲν ἀπὸ πατρὸς
καὶ ἡ ψυχή μου εὕρηται ὡσεὶ γυνὴ χηρεύουσα.
Ἔπιδ' ἐπὶ τὰ δάκρυα, Θεέ, τῆς ὀρφανίας μου
κἀπὶ τὰ τῆς χηρείας μου, ἃ Σοι προσάγω, Κύριε,
ἕως τοῦ ἐπιστρέψαι Σε. Εἶα δη, εἶα δή, Θεέ,
ἤδη ἐμοὶ ἐμφάνηθι κἀγὼ παρακληθήσομαι.
Παράστηθί μοι, Κύριε, καὶ τεύξομαι τοῦ πόθου μου,
τὴν δόξαν τοῦ προσώπου σου, Χριστέ, μοὶ ἀποκάλυψον
καὶ ἡ χαρά μου πάραυτα Κύριε πληρωθήσεται.
Σέ, Κύριέ μου, ἡ ψυχὴ μεγάλως Σὲ ἐδίψησε
καὶ ποσαπλῶς ἡ σάρξ μου σοί;
Ἐδίψησέ μου ἡ ψυχὴ πρὸς τὸν Θεὸν τὸν ἰσχυρὸν
τὸν ζῶντα· πότε, Κύριε, ἥξω σοι καὶ ὀφθήσομαι
προσώπῳ τοῦ Κυρίου μου ;

—

Ὁ ἐμὸς παρακλήτωρ πόθ' ἥξεις ;
τίνα δὴ προσδοκῶν ἔσομαί τε;
Ὢ... Χριστὲ εἴποτε ὄψομαί Σε
τὸ ἐμὸν ἀγαλλίαμα μόνον
οὗ ἐφίεμαι ἀπὸ καρδίας !
Ὢ... Χριστὲ εἴποτε τὴν σὴν δόξαν
χορτασθήσομαι ἐν τῷ ὀφθῆναι,
ἧς περ ἤδη λιμῷ συνεσχέθην.

Ὦ... Χριστέ, εἴποτε κἀγὼ ἄρα
μεθυσθήσομαι ἀπὸ τοῦ οἴκου
τῆς ποιότητος τῶν ἀγαθῶν σου,
πρὸς ἣν ὅλος νῦν ἐπιστενάζω.
Εἴποτε ποτιεῖς με, Θεέ μου,
τῆς τρυφῆς σου τῆς ἐκ τοῦ χειμάρρου
τὸν χαμαὶ κατακείμενον οὕτως
συνεχόμενον δίψ' ἀφορήτῳ !
Γένοιτο γοῦν δὴ τὸ μεταξύ μοι,
γένοιτό μοι τὰ δάκρυα ἄρτος
κορεσμοῦ καὶ νυκτὸς καὶ ἡμέρας
ἕως οὗ ἡ ψυχή μου ἀκούσῃ
ἴδε ἥκει ὁ σὸς νυμφίος.
Ἀλλὰ Σὺ ποίμανόν με, Νυμφίε,
τοῖς ἐμοῖς ὀλολύγμασι τέως,
καὶ κατάστησον κἀνάθαλψόν με
ἐν τοῖς ἄλγεσι τῶν ὀδυνῶν μου.
Ἥξει δὲ ὁ μὲ ἐξαγοράσας,
ἀγαθὸς γὰρ ἀπείρως ὑπάρχει
ἥξει, οὐ χρονιεῖ ὁ Θεός μου,
ὅτι πέλει αὐτὸς ἐλεήμων.
Δόξα αἶνος αὐτῷ εἰς αἰῶνας. Ἀμὴν

Τέλος τῶν Μελετῶν τοῦ Ἱεροῦ Πατρὸς Αὐγουστίνου.

Ἱκετήριοι Ὠδαὶ πρὸς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν. [1]

Ψάλλονται κατὰ τὸ «Δέσποινα Δέσποινα Μῆτερ» τοῦ Θεοτοκαρίου.
Ψάλλονται καὶ εἰς ἦχον Γον βαρὺν καὶ ΠΛ δ'.

Ὠδὴ α'.

Παμβασιλεῦ ἐλεῆμον, παντάναξ εὐλογημένε
ὡς εὔσπλαγχνος καὶ οἰκτίρμων οἴκτιρον τὸ ποίημά Σου,
καὶ μὴ ἐάσῃς ὀλέσθαι ἐκ τῶν δεινῶν μου δικαίως
καμπτόμενος ταῖς πρεσβείαις τῆς Σὲ ἀσπόρως τε-
κούσης

—

Τῇ σῇ χειρί, ἱκετεύω, κατάβαλλε τοὺς ἐχθρούς μου
τοὺς πολεμοῦντάς με Σῶτερ καὶ τὴν ψυχήν μου ζη-
τοῦντας,
ἐξ ὕψους Παντελεῆμον τοῦ Σοῦ κατοικητηρίου
πρεσβείαις τῆς Παναγίας Ἀειπαρθένου Μαρίας.

—

Εὐόδωσον Ἰησοῦ μου τὰς τρίβους μου ἱκετεύω,
καὶ εὔθυνον Πανοικτίρμον πρὸς τὰς εὐθείας ὁδούς σου
καταύγασόν μου τὰς φρένας θεράπευσον τὴν ψυχήν μου
ὅπως ῥυσθῶ τῆς γεέννης, πρεσβείαις τῆς Σὲ τεκούσης.

---

[1] Ἐποιήθησαν ὑφ' ἡμῶν εἰς ἐξομολόγησιν καὶ ἐπίκλησιν τοῦ θείου ἐλέους.

'Ωδὴ β'.

Λόγε Θεοῦ Πανοικτίρμον ἐλέησόν με Θεέ μου,
οἰκτίρησον δυσωπῶ Σε τὸν ἄπειρα ἐπταικότα,
καὶ μὴ εἰς κρίσιν εἰσέλθῃς μετὰ τοῦ δούλου Σου, Σῶτερ,
ἐπικαμπτόμενος, Λόγε, ταῖς μητρικαῖς ἱκεσίαις.

—

Κατάκριτον γεγονότα ἐκ τῆς πολλῆς ἀφροσύνης
ἀνάξιόν τε Χριστέ μου τοῦ βήματός Σου τοῦ θείου
Σὺ οἴκτιρον ἐλεῆμον τοῖς δεξιοῖς σύνταξόν με
πρεσβείαις τῆς Παναγίας 'Αειπαρθένου Μητρός σου.

—

'Εν ῥαθυμίᾳ τὸν βίον ἠνάλωσα, Ἰησοῦ μου,
καὶ ἡδοναῖς ἐδουλώθην καὶ κεῖμαι ἐσκοτισμένος
Σὺ φώτισον τὴν ψυχήν μου καὶ ἐλευθέρωσον, Σῶτερ,
πρεσβείαις τῆς Παναγίας Δεσποίνης τῆς Θεοτόκου.

'Ωδὴ γ'.

'Ο τὸν λῃστὴν ἐπὶ ξύλου τοῦ Παραδείσου πολίτην
ἀπεργασάμενος, Σῶτερ, κἀμὲ τὸν τάλανα σῶσον
τὸ μνήσθητί μου βοῶντα ὥσπερ ἐκεῖνος Χριστέ μου
καὶ δεῖξόν με Παραδείσου οἰκήτορα 'Ιησοῦ μου.

—

Σὺ φωταγώγησον Σῶτερ τὰ ὄμματα τῆς ψυχῆς μου
ἀμαυρωθέντα τῷ σκότει τῆς βδελυρᾶς ἁμαρτίας
καὶ ῥῦσαί με τῆς ἀτόπου καὶ πονηρᾶς συνηθείας
πρεσβείαις τῆς Θεοτόκου ἀειπαρθένου Μαρίας.

—

Τὰς τῶν δαιμόνων, Χριστέ μου, ἐπιβουλὰς καὶ παγίδας
τὰς κατ' ἐμοῦ ἐστημένας καὶ βέλη τὰ ἰοβόλα
καὶ τόξα τὰ τανυσθέντα Σὺ σύντριψον Σῇ δυνάμει
καὶ διασκέδασον πάσας τὰς μηχανὰς τῶν ἐχθρῶν μου.

Δόξα καὶ νῦν.

Λόγε Θεοῦ Πανοικτίρμον φιλάνθρωπε ἐλεῆμον
ἱλάσθητι τοῖς τιμῶσι τὴν Σὴν 'Αγίαν Μητέρα
καὶ Παραδείσου πολίτας εὐδόκησον ἀναδεῖξαι
καὶ τῆς ἀφάτου σου δόξης μετόχους πάντας ποιῆσαι.

'Αμὴν

—



ΠΙΝΑΞ ΤΩΝ ΚΕΦΑΛΑΙΩΝ
ΤΟΥ Α΄. ΒΙΒΛΙΟΥ ΤΟΥ ΚΕΚΡΑΓΑΡΙΟΥ